www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑΙ

Τοῦ Ἁγίου ἐνδόξου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ματθαίου,

Τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν, Τίτου, Κυρίλλου, Εὐμενίου καὶ Ἀνδρέου, Ἀρχιεπισκόπων Κρήτης, τῶν Θαυματουργῶν,

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Μύρωνος, Ἐπισκόπου Κνωσοῦ Κρήτης τοῦ Θαυματουργοῦ,

Τῶν Ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν Ἰωάννου τοῦ Ἐρημίτου καὶ τῶν συνασκητῶν αὐτοῦ 98, τῶν ἐν Κρήτῃ λαμψάντων,

Τῶν Ἁγίων ἐνδόξων καὶ πανευφήμων 10 μαρτύρων τῶν ἐν Κρήτῃ ἀναιρεθέντων,

Τῶν Ἁγίων ἐνδόξων 4 νέων τοῦ Χριστοῦ μαρτύρων, Ἀγγελῆ, Μανουὴλ, Γεωργίου καὶ Νικολάου, τῶν ἐν Ῥεθύμνῃ τῆς Κρήτης μαρτυρησάντων,

Τῶν Ἁγίων Πάντων, μεθ' ἣν ἕπονται Εὐαγγέλια καὶ Ἀπόστολοι εἰς διαφόρους μνήμας Ἁγίων,

Ἡ Νεκρώσιμος Ἀκολουθία, καὶ

Δύο εὐχαὶ ἐπὶ ἀσθενείας ἢ βλάβης ζώων καὶ φυτῶν,

ΕΚΔΟΘΕΙΣΑΙ

ΕΠΙΜΕΛΕΙᾼ ΚΑΙ ΔΑΠΑΝῌ

## ΙΛΑΡΙΩΝΟΣ

ΕΠΙΣΚΟΠΟΥ ΡΕΘΥΜΝΗΣ ΚΑΙ ΑΥΛΟΠΟΤΑΜΟΥ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΙΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚ ΤΩΝ ΠΙΕΣΤΗΡΙΩΝ ΙΩ. ΚΟΥΒΕΛΟΥ ΚΑΙ Α. ΤΡΙΜΗ

(Ὁδὸς Πραξιτέλους ἀριθ. 11)

1877.

www.tezaurliturgic.ro

ΤΩ

ΣΕΒΑΣΜΙΩΤΑΤΩ ΜΗΤΡΟΠΟΛΙΤΗ ΚΡΗΤΗΣ

ΚΥΡΙΩ ΚΥΡΙΩ

# ΣΩΦΡΟΝΙΩ

ΚΑΙ ΤΗ ΠΕΡΙ ΑΥΤΟΝ ΑΓΑΠΗΤΗ ΕΝ ΧΡΙΣΤΩ ΤΩΝ ΣΥΝΑΔΕΛΦΩΝ ΕΠΙΣΚΟΠΩΝ ΧΟΡΕΙΑ

ΤΗΝΔΕ ΤΗΝ ΒΙΒΛΟΝ,

ΣΕΒΑΣΜΟΥ ΚΑΙ ΑΔΕΛΦΙΚΗΣ ΑΓΑΠΗΣ ΤΕΚΜΗΡΙΟΝ

ΑΝΑΤΙΘΗΣΙΝ

Ὁ ἐκδότης

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro




Ἐσχεδ. ὑπὸ Α. Βεδελάκη Ῥεθυμνίου.

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΑΠΟΣΤΟΛΟΥ ΚΑΙ ΕΥΑΓΓΕΛΙΣΤΟΥ

# ΜΑΤΘΑΙΟΥ

*ψαλλομένη τῇ 16 Νοεμβρίου.*

---

Ἑσπέρας, ἐν τῷ μεγάλῳ ἑσπερινῷ, στιχολογοῦμεν τό, «Μακάριος ἀνήρ». Εἰς δὲ τό, «Κύριε ἐκέκραξα» ἱστῶμεν στίχους ς'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

*Ἦχος δ'.* Ὁ ἐξ ὑψίστου κληθείς.

Ὁ ἐμβατεύων καρδίας τῶν ἀνθρώπων, ὅτε σου τὴν ἔνθεον γνώμην Ἀπόστολε, θείᾳ προγνώσει ἑώρακε, καὶ ἐκ τοῦ κόσμου, τῆς ἀδικίας σὲ ἐλυτρώσατο, τότε καὶ παγκόσμιον φῶς ἀπειργάσατο, τῆς οἰκουμένης τὰ πέρατα, καταφωτίζειν, καὶ διαλάμπειν ἐγκελευσάμενος, οὗ καὶ τὸ θεῖον εὐαγγέλιον, ἠξιώθης σαφῶς ἀναγράψασθαι· ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Ὁ ἐκ Τελώνου κληθεὶς εἰς μαθητείαν, ὅτε σε ὁ ἄναρχος Λόγος ἐφώνησεν, ἀκολουθεῖν προτρεπόμενος, καὶ κοινωνίαν, τῆς βασιλείας ἐπαγγειλάμενος, τότε παμμακάριστε πάντων ἀφέμενος, καὶ ταραχώδους συγχύσεως, ἀναχωρήσας, αὐτῷ συντόνως ἐπηκολούθησας· καὶ νῦν θεόπτα ἐμφορούμενος, τῆς ἀφράστου αὐτοῦ θεωρίας τε, καθικέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

www.tezaurliturgic.ro

Προφητική τις σαφῶς ὀξυδερκία, πάλαι μέν σε ἅγιον λίθον τεθέαται, ἐπὶ τῆς γῆς κυλιόμενον, καὶ τὰς ἀπάτης, τὰς ἑλεπόλεις καταλεαίνοντα, ὁ Λόγος δὲ πάνσοφε ὁ ἐνυπόστατος, φῶς σε τοῦ κόσμου καὶ κήρυκα, δικαιοσύνης, καὶ ἀληθείας ἀποτετέλεκε, λελαμπρυσμένον ταῖς λαμπρότησι, τοῦ τρισηλίου φωτὸς πανσεβάσμιε, ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Ἦχος α'. Οἱ ἀνεύφημοι μάρτυρες.

Ματθαῖε θεόκλητε σοφὲ, γραμματέως κάλαμος, καὶ ὀξυγράφου γεγένησαι, Χριστοῦ τὴν σάρκωσιν, θεοπνεύστως γράφων καὶ τρανῶς φθεγγόμενος, ζωῆς ἀτελευτήτου τὰ ῥήματα, ἐν ᾗ δυσώπησον, ἐγγραφῆναι τοὺς ὑμνοῦντάς σε, καὶ τιμῶντας τὴν ἔνδοξον μνήμην σου.

Ματθαῖε πανεύφημε Χριστοῦ, εὐαγγελιζόμενος τὴν οἰκουμένην διέδραμες, καθάπερ ἥλιος, ἀφανίζων πᾶσαν, ταῖς αὐγαῖς τῆς πίστεως, τὴν τῆς πολυθείας σκοτόμαιναν· καὶ νῦν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Ματθαῖε πανίερε τρυφῆς, τὸν χειμάῤῥουν ἔπιες, ὡς ἐξ Ἐδὲμ ἐξορμώμενος, περιφανέστατος, ποταμὸς εἰρήνης, περικλύζων νάμασι, τοῦ εὐαγγελικοῦ σου κηρύγματος, τῆς γῆς τὸ πρόσωπον, Ἐκκλησίας τὰ στηρίγματα καταρδεύων, θεοπνεύστοις δόγμασι.

Δόξα, Ἦχος πλ. δ'.

Κροτήσωμεν ἐν ᾄσμασι σήμερον πιστοὶ, ἐπὶ τῇ μνήμῃ τοῦ σεπτοῦ Ἀποστόλου, καὶ Εὐαγγελιστοῦ Ματθαίου· οὗτος γὰρ, ῥίψας τὸν ζυγὸν καὶ τὸν χρυσὸν τοῦ τελωνείου, ἠκολούθησε τῷ Χριστῷ, καὶ κῆρυξ τοῦ Εὐαγγελίου, θεῖος ἐχρημάτισεν· ὅθεν ἐξῆλθε προφητικῶς, ὁ φθόγγος αὐτοῦ εἰς τὴν οἰκουμένην, καὶ πρεσβεύει σωθῆναι τὰς ψυχὰς ἡμῶν.



Καὶ νῦν, ὁ αὐτός. Θεοτοκίον.

Μετὰ τὸ τεχθῆναί σε, Θεόνυμφε Δέσποινα, παρεγένου ἐν ναῷ Κυρίου, τοῦ ἀνατραφῆναι εἰς τὰ Ἅγια τῶν Ἁγίων ὡς ἡγιασμένη. Τότε καὶ Γαβριὴλ ἀπεστάλη πρὸς σὲ τὴν παναμώμον, τροφὴν κομίζων σοι. Τὰ οὐράνια πάντα ἐξέστησαν, ὁρῶντα τὸ Πνεῦμα τὸ ἅγιον ἐν σοὶ σκηνῶσαν. Διὸ ἄσπιλε ἀμόλυντε, ἡ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς δοξαζομένη, Μήτηρ Θεοῦ, σῶζε τὸ γένος ἡμῶν.

Εἴσοδος, τὸ, Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Καθολικῆς Α'. Ἐπιστολῆς Ἰωάννου τὸ Ἀνάγνωσμα.

Ἀγαπητοὶ, εἰ οὕτως ὁ Θεὸς ἠγάπησεν ἡμᾶς, καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους ἀγαπᾷν. Θεὸν οὐδεὶς πώποτε τεθέαται. Ἐὰν ἀγαπῶμεν ἀλλήλους, ὁ Θεὸς ἐν ἡμῖν μένει, καὶ ἡ ἀγάπη αὐτοῦ τετελειωμένη ἐστὶν ἐν ἡμῖν. Ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ μένομεν καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν. Καὶ ἡμεῖς τεθεάμεθα καὶ μαρτυροῦμεν, ὅτι ὁ πατὴρ ἀπέσταλκε τὸν υἱὸν αὐτοῦ σωτῆρα τοῦ κόσμου. Ὃς ἂν ὁμολογήσῃ, ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν τῷ Θεῷ. Καὶ ἡμεῖς ἐγνώκαμεν καὶ πεπιστεύκαμεν τὴν ἀγάπην, ἣν ἔχει ὁ Θεὸς ἐν ἡμῖν. Ὁ Θεὸς ἀγάπη ἐστὶ, καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ.

Καθολικῆς Α'. ἐπιστολῆς Ἰωάννου τὸ ἀνάγνωσμα.

Ἀγαπητοὶ, ἐάν τις εἴπῃ, ὅτι ἀγαπᾷ τὸν Θεὸν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης ἐστίν· ὁ γὰρ μὴ

www.tezaurliturgic.ro



ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, ὃν ἑώρακε, τὸν Θεὸν, ὃν οὐχ ἑώρακε, πῶς δύναται ἀγαπᾷν; Καὶ ταύτην τὴν ἐντολὴν ἔχομεν ἀπ' αὐτοῦ, ἵνα ὁ ἀγαπῶν τὸν Θεὸν, ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ. Πᾶς ὁ πιστεύων ὅτι, Ἰησοῦς ἐστὶν ὁ Χριστὸς, ἐκ τοῦ Θεοῦ γεγέννηται· καὶ πᾶς ὁ ἀγαπῶν τὸν γεννήσαντα, ἀγαπᾷ καὶ τὸν γεγεννημένον ἐξ αὐτοῦ. Ἐν τούτῳ γινώσκομεν, ὅτι ἀγαπῶμεν τὰ τέκνα τοῦ Θεοῦ, ὅταν τὸν Θεὸν ἀγαπῶμεν καὶ τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. Αὕτη γάρ ἐστιν ἡ ἀγάπη τοῦ Θεοῦ, ἵνα τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν· καὶ αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσίν· Ὅτι πᾶν τὸ γεγεννημένον ἐκ τοῦ Θεοῦ νικᾷ τὸν κόσμον. Καὶ αὕτη ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κόσμον, ἡ πίστις ἡμῶν. Τίς ἐστιν ὁ νικῶν τὸν κόσμον, εἰμὴ ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ;

*Καθολικῆς Α'. ἐπιστολῆς Πέτρου τὸ ἀνάγνωσμα.*

Ἀγαπητοὶ, Χριστοῦ παθόντος ὑπὲρ ἡμῶν σαρκὶ, καὶ ὑμεῖς τὴν αὐτὴν ἔννοιαν ὁπλίσασθε, ὅτι ὁ παθὼν ἐν σαρκὶ πέπαυται ἁμαρτίας, εἰς τὸ μηκέτι ἀνθρώπων ἐπιθυμίαις, ἀλλὰ θελήματι Θεοῦ τὸν ἐπίλοιπον ἐν σαρκὶ βιῶσαι χρόνον. Ἀρκετὸς γὰρ ἡμῖν ὁ παρεληλυθὼς χρόνος τοῦ βίου, τὸ θέλημα τῶν ἐθνῶν κατεργάσασθαι, πεπορευμένους ἐν ἀσελγείαις, ἐπιθυμίαις, οἰνοφλυγίαις, κώμοις, πότοις, καὶ ἀθεμίτοις εἰδωλολατρείαις· ἐν ᾧ ξενίζονται, μὴ συντρεχόντων ὑμῶν εἰς τὴν αὐτὴν τῆς ἀσωτίας ἀνάχυσιν, βλασφημοῦντες. Οἳ ἀποδώσουσι λόγον τῷ ἑτοίμως ἔχοντι κρῖναι ζῶντας καὶ νεκρούς· εἰς τοῦτο γὰρ καὶ νεκροῖς εὐηγγελίσθη, ἵνα κριθῶσι μὲν κατὰ ἀνθρώπους σαρκὶ, ζῶσι δὲ κατὰ Θεὸν πνεύματι. Πάντων δὲ τὸ τέλος ἤγγικε. Σωφρονήσατε οὖν, καὶ νήψατε εἰς τὰς προσευχάς. Πρὸ πάντων δὲ τὴν εἰς ἑαυτοὺς ἀγάπην ἐκτενῆ ἔχοντες· ὅτι ἡ ἀγάπη καλύψε

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



πλῆθος ἁμαρτιῶν. Φιλόξενοι εἰς ἀλλήλους, ἄνευ γογγυσμῶν· ἕκαστος καθὼς ἔλαβε χάρισμα, εἰς ἑαυτοὺς αὐτὸ διακονοῦντες, ὡς καλοὶ οἰκονόμοι ποικίλης χάριτος Θεοῦ. Εἴτις λαλεῖ, ὡς λόγια Θεοῦ· εἴτις διακονεῖ, ὡς ἐξ ἰσχύος ἧς χορηγεῖ ὁ Θεός· ἵνα ἐν πᾶσι δοξάζηται ὁ Θεὸς διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἐστὶν ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Εἰς τὴν Λιτήν. ἦχος ά.*

Τὸ πῦρ τὸ νοερὸν, τὸ φωτίζον διανοίας καὶ φλογίζον ἁμαρτίας, ἔνδον λαβὼν ἐν καρδίᾳ ὁ Ἀπόστολος Χριστοῦ καὶ μαθητὴς, λάμπει μὲν ταῖς μυστικαῖς ἀκτῖσι τῶν διδαχῶν, ἐν ταῖς τῶν ἐθνῶν ἀφωτίστοις καρδίαις· φλέγει δὲ πάλιν, τὰς φρυγανώδεις τῶν ἀσεβῶν μυθουργίας. Τὸ πῦρ γὰρ τοῦ πνεύματος, τοιαύτην ἔχει τὴν ἐνέργειαν. Ὢ θαῦμα ξένον καὶ φοβερόν! ἡ πηλώδης γλῶσσα, ἡ πηλίνη φύσις, τὸ σῶμα τὸ χοϊκὸν, τὴν νοερὰν καὶ ἄϋλον ὑπεδέξατο γνῶσιν. Ἀλλ' ὦ μύστα τῶν ἀρρήτων, καὶ θεωρὲ τῶν οὐρανίων, ἱκέτευε, καταυγασθῆναι τὰς ψυχὰς ἡμῶν.

*Ἦχος πλ. δ'.*

Τὸν κήρυκα τῆς πίστεως, καὶ ὑπηρέτην τοῦ Λόγου, Ματθαῖον εὐφημήσωμεν. Οὗτος γὰρ τοὺς ἀνθρώπους ἐκ τοῦ βυθοῦ ἁλιεύει, ἀντὶ καλάμου τὸν σταυρὸν, ἐν ταῖς χερσὶ διακρατῶν, καὶ ὡς σπαρτίον χαλῶν τὴν δύναμιν, ἐπανάγει τὰς ψυχὰς, ἀπὸ τῆς πλάνης τοῦ ἐχθροῦ, καὶ προσκομίζει τῷ Θεῷ δῶρον εὐπρόσδεκτον. Ἀεὶ τοῦτον πιστοὶ, σὺν τῇ χορείᾳ τῶν μαθητῶν τοῦ Χριστοῦ εὐφημήσωμεν· ἵνα πρεσβεύῃ αὐτῷ, ὅπως ἵλεως γένηται ἡμῖν, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

*Ὁ αὐτὸς*

Δεῦτε τῆς οὐρανίου μυσταγωγίας τὸν κήρυκα, καὶ ὑποφήτην τοῦ εὐαγγελίου, ψαλμοῖς καὶ ὑμνῳδίαις, Ματθαῖον πάντες εὐφημήσωμεν. Οὗτος γὰρ, ποταμὸ

www.tezaurliturgic.ro



ἀνεδείχθη τοῦ νοητοῦ παραδείσου, τὰς ψυχικὰς ἀρούρας τοῖς οὐρανίοις ὄμβροις ἐπάρδων, καὶ καρποφόρους δεικνύων Χριστῷ τῷ Θεῷ, τῷ παρέχοντι πᾶσι ταῖς πρεσβείαις αὐτοῦ, ἱλασμὸν καὶ τὸ μέγα ἔλεος.

Ὁ αὐτός

Δεῦτε πᾶσα κτίσις τὸν ἀληθῶς εὐαγγελιστὴν τοῦ Σωτῆρος, Ματθαῖον τὸν ἀοίδιμον, ἐν ᾠδαῖς εὐφημήσωμεν. Οὗτος γὰρ ἀθείας τὴν νόσον, τῷ ἐπιχρίσματι τῆς Χριστοῦ κολυμβήθρας ἐθεράπευσε, καὶ ποταμοὺς θεοβρύτων ναμάτων ἐκ στόματος, ἐμψυχωμέναις χώραις τοῦ εὐαγγελίου κατήρδευσεν. Ὅθεν ἐξῆλθε προφητικῶς, ὁ φθόγγος αὐτοῦ εἰς τὴν οἰκουμένην, καὶ πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος πλ. β'.

Πάνσοφε ἁλιεῦ, ἅγιε μαθητά, ἐργάτα τοῦ Σωτῆρος καὶ θρίαμβε τῶν αὐτοῦ παθημάτων· ὁ τὴν κτίσιν τῇ πίστει διαδραμὼν καὶ τῆς πλάνης τὰ ἔθνη ἐξαγαγών, καὶ Θεῷ προσενέγκας ὡς θυμίαμα καλόν, εἰς οὐρανοὺς εὐοδωθείς· Διὸ παριστάμενος τῷ Κριτῇ, πρέσβευε ῥυσθῆναι ἡμᾶς τῶν ἀνομιῶν ἡμῶν, καὶ ἐν ἡμέρᾳ κρίσεως, λυτρωθῆναι τῆς κολάσεως.

Ὁ αὐτός

Ἀπόστολε Χριστοῦ καὶ τῶν θείων δογμάτων συγγραφεῦ, καὶ τῆς ἐκκλησίας ἑδραίωμα· σὺ ὡς ἀληθῶς τὰς ἐν ζόφῳ καρδίας ἐφώτισας, καὶ διέσωσας ἐκ σάλου τρικυμίας, ὀπαδὸς καὶ μιμητὴς γενόμενος Χριστοῦ τοῦ Θεοῦ. Ὅθεν αἰτοῦμέν σε, Ματθαῖε ἀξιάγαστε, πιστῶν τὸ ἐγκαλλώπισμα, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος δ'.

Καλοῦντι Χριστῷ πρὸς μαθητείαν οὐράνιον, προθύμως ἠκολούθησας θεόληπτε· πᾶσαν σχολὴν φροντίδος γηΐνης, ὑφ' ἓν παρωσάμενος· ἐπαξίαν γὰρ τῆς ἄνω βα-



σιλείας, γνώμην εὐπειθῶς ἀναλαβόμενος, τῆς χαμαιζήλου πολιτείας καὶ δόξης κενῆς ἀπέστης, εὐαγγελιστὴς ἀπὸ τελώνου γενόμενος· φῶς τε τῶν ἐν σκότει χρηματίσας, καὶ πεπλανημένων ὁδηγὸς πρὸς σωτηρίαν· νῦν δὲ πρεσβευτὴς παντὸς τοῦ κόσμου θερμότατος, καὶ τῶν σὲ γεραιρόντων, Ματθαῖε φύλαξ σωτήριος.

Καὶ νῦν, ὁ αὐτός. Θεοτοκίον.

Δεῦτε πάντες οἱ πιστοί, τὴν μόνην ἀμώμητον ἐγκωμιάσωμεν, τὴν ἐκ τῶν προφητῶν προκηρυχθεῖσαν, καὶ ἐν ναῷ προσενεχθεῖσαν μητέρα, καὶ ἐπ' ἐσχάτων τῶν χρόνων ἀναδειχθεῖσαν Θεοτόκον. Κύριε πρεσβείαις αὐτῆς, τὴν εἰρήνην σου παράσχου ἡμῖν, καὶ τὸ μέγα ἔλεος.

Ἀπόστιχα προσόμοια.

Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσι.

Τῇ τῶν λόγων σου σάλπιγγι, τοὺς ἀνθρώπους συνήθροισας, εἰς Θεοῦ ἐπίγνωσιν παναοίδιμε, καὶ τὰ τῆς πλάνης ἀθροίσματα, ἐκ γῆς ἀπεσόβησας, καὶ εἰς μίαν τοὺς πιστούς, τὴν ὁμόνοιαν ἴθυνας, καὶ πρεσβεύεις νῦν, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀεισέβαστον μνήμην σου.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

Ὁ ἐν γλώσσῃ πυρίνῃ σε, καθοπλίσας τοῦ πνεύματος, κραταιὸν ἀνέδειξε πολεμήτορα, κατὰ τῆς πλάνης Ἀπόστολε, Χριστὸς ὁ Θεὸς ἡμῶν, δι' οὗ ἔλαβες λαμπρά, τὰ βραβεῖα τῆς χάριτος· ὃν ἱκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀεισέβαστον μνήμην σου.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Εἰς τὰ βάθη τοῦ πνεύματος, διακύψας Ἀπόστολε, πλοῦτον τὸν ἀκένωτον κατενόησας, καὶ ἐξ αὐτοῦ ἀρυσάμενος, τὴν χάριν τὴν ἄφθονον, τοῖς ἀνθρώποις δαψι-

www.tezaurliturgic.ro

λῶς, πᾶσι ταύτην διένειμας· καὶ πρεσβεύεις νῦν, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀεισέβαστον μνήμην σου.

Δόξα. Ἦχος πλ. β'.

Ἐκ πυθμένος κακίας ἐσχάτης, πρὸς ἀκρότατον ὕψος ἀρετῆς, ὡς ἀετὸς ὑψιπέτης, παραδόξως ἀνέδραμες, Ματθαῖε πανεύφημε. Τοῦ γὰρ καλύψαντος οὐρανοὺς ἀρετῇ, καὶ τῆς συνέσεως αὐτοῦ πᾶσαν τὴν γῆν πληρώσαντος Χριστοῦ, ἀκολουθήσας τοῖς ἴχνεσι, μιμητὴς διάπυρος ἐν πᾶσιν αὐτοῦ πεφανέρωσαι· εὐαγγελιζόμενος εἰρήνην, ζωὴν καὶ σωτηρίαν, τοῖς πειθαρχοῦσιν εὐσεβῶς, τοῖς θείοις σου προστάγμασιν· ἐν οἷς ἡμᾶς καθοδήγησον, εὐαρεστοῦντας τῷ Κτίστῃ, καὶ σὲ μακαρίζοντας.

Καὶ νῦν. ὁ αὐτός. Θεοτοκίον.

Σήμερον τὰ στίφη τῶν πιστῶν συνελθόντα, πνευματικῶς πανηγυρίσωμεν· καὶ τὴν θεόπαιδα παρθένον καὶ Θεοτόκον, ἐν ναῷ Κυρίου προσαγομένην, εὐσεβῶς ἀνευφημήσωμεν· τὴν προεκλεχθεῖσαν ἐκ πασῶν τῶν γενεῶν, εἰς κατοικητήριον τοῦ παντάνακτος Χριστοῦ, καὶ Θεοῦ τῶν ὅλων. Παρθένοι λαμπαδηφοροῦσαι προπορεύεσθε, τῆς Ἀειπαρθένου τιμῶσαι τὴν σεβάσμιον πρόοδον. Μητέρες λύπην πᾶσαν ἀποθέμεναι, χαρμονικῶς συνακολουθήσατε, τὴν Μητέρα τοῦ Θεοῦ γενομένην, καὶ τῆς χαρᾶς τοῦ κόσμου τὴν πρόξενον. Ἅπαντες οὖν χαρμονικῶς, τὸ χαῖρε σὺν τῷ Ἀγγέλῳ ἐκβοήσωμεν τῇ Κεχαριτωμένῃ, τῇ ἀεὶ πρεσβευούσῃ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Τὴν ἔνσαρκον πάνσοφε, οἰκονομίαν Χριστοῦ, τὰ πάθη καὶ ἔγερσιν εὐηγγελίσω ἡμῖν, Ματθαῖε ἀπόστολε· ὅθεν χρεωστικῶς σε ἀνυμνοῦμεν βοῶντες· φάνηθι ἐν τῇ



κρίσει βοηθὸς ἡμῖν πᾶσιν, ἧς καὶ τὴν ὥραν Εὐαγγελιστά, τρανῶς καθυπέγραψας.

Δόξα. Ἦχος γ'.

Ἀπόστολε Ἅγιε καὶ Εὐαγγελιστὰ Ματθαῖε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. ὁ αὐτός.

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ υἱός σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

## Εἰς τὸν Ὄρθρον

Μετὰ τὴν α'. στιχ. Καθίσματα.

Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Ὁ πρῶτος τοῦ Χριστοῦ, εὐαγγέλιον γράψας, καὶ πᾶσαν δαδουχῶν, τὴν ὑφήλιον κτίσιν, Ματθαῖος ὁ σοφώτατος, καὶ Χριστοῦ μύστης ἄριστος, νῦν τιμώμενος, ταῖς ἱεραῖς μελῳδίαις, πᾶσιν ἄφεσιν, ἁμαρτιῶν ἐξαιτεῖται, τοῖς πόθῳ τιμῶσιν αὐτόν.

Δόξα. ὁ αὐτός.

Ἐξ ὕψος ἀρετῶν, ἀνελθὼν θεῖε Μάκαρ, ἐβρόντησας ἡμῖν, σωτηρίαν δογμάτων, μεγάλα μυστήρια, κῆρυξ θεῖος γενόμενος. Ὅθεν πίστει σε, ἐκδυσωποῦμεν Ματθαῖε, πάσης θλίψεως, ἁμαρτιῶν καὶ κινδύνων, ἡμᾶς ἐλευθέρωσον.

Καὶ νῦν. Θεοτοκίον.

Τὰς χεῖράς σου Σεμνή, νῦν ἐκτείνασα οἴκτῳ, βοήθειαν ἡμῖν, ἐξ Ἁγίου παράσχου· καὶ δίδου ἀκίνδυνον, τὴν ζωὴν διανύσασθαι, τοὺς λατρεύοντας, τὸν σὸν πανάγιον τόκον, καὶ γεραίροντας, Σὲ τὴν ἐλπίδα ἁπάντων, καὶ μόνον προσφύγιον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠ...

www.tezaurliturgic.ro

Μετὰ τὴν β'. στιχ. Ἦχος πλ. δ'. Τὸν συνάναρχον λόγον.

Τὸν Ἀπόστολον πάντες ἀνευφημήσωμεν, ὡς αὐτόπτην τοῦ Λόγου καὶ θεῖον κήρυκα, καὶ τῶν ἐθνῶν πνευματικὸν σαγηνευτὴν ὡς ἀληθῶς, ὅτι προσήγαγεν ἡμᾶς εἰς τὴν ἐπίγνωσιν Χριστοῦ, Ματθαῖος ὁ θεηγόρος· καὶ νῦν πρεσβεύει ἀδιαλείπτως, εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ὡς ἀστέρα μέγαν σε, ἡ Ἐκκλησία, κεκτημένη ἔνδοξε, τῶν ἰαμάτων σου βολαῖς, φαιδρυνομένη κραυγάζει σοι, χαίροις βοῶσα, Ματθαῖε Ἀπόστολε.

Καὶ νῦν. Θεοτοκίον.

Προστασία ἄμαχε, τῶν θλιβομένων, καὶ θερμὴ ἀντίληψις, τῶν πεποιθότων ἐπὶ σοί· ἀπὸ κινδύνων με λύτρωσαι· σὺ γὰρ ὑπάρχεις, ἡ πάντων βοήθεια.

Μετὰ τὸν Πολυέλεον. Ἦχος πλ. δ'. Τὴν σοφίαν καὶ λόγον.

Τοῦ τελώνου τὰ θράση καταβαλών, τοῦ Σωτῆρος τὰ πάθη ἐπιποθῶν, Ματθαῖε Ἀπόστολε, ἀνεδείχθης μακάριε, οὐρανόθεν πᾶσι πηγάζων τὰ θαύματα, καὶ Εὐαγγελίου ἐγένου διδάσκαλος· ὅθεν σου τὴν μνήμην ἐπαξίως τιμῶντες, ἐν ὕμνοις δοξάζομεν καὶ πιστῶς μεγαλύνομεν, τοῦ Κυρίου Ἀπόστολε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα. ὁ αὐτός.

Τὸν χρυσὸν καταλείψας ὡς ἀληθῶς, τὸν Χριστὸν δὲ ποθήσας φιλευσεβῶς, Ματθαῖε Ἀπόστολε, τῶν περάτων ἐδείχθης φωστήρ, καὶ ἐκ τελώνου ὤφθης Ἀπόστολος ἔνδοξος, μαθητὴς γενόμενος καὶ κῆρυξ τῆς πίστεως. Ὅθεν συνελθόντες, κατὰ χρέος τιμῶμεν, τὴν πάνσεπτον μνήμην σου, καὶ πιστῶς ἑορτάζομεν, μελῳδοῦντες καὶ λέγοντες· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν



πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε θρόνε πυρίμορφε τοῦ Θεοῦ, χαῖρε Κόρη καθέδρα βασιλική, κλίνη πορφυρόστρωτε, χρυσοπόρφυρε θάλαμε, χλαμὺς ἀλουργόχροε, τιμαλφέστατον τέμενος, ἀστραπηφόρον ἅρμα, λυχνία πολύφωτε, χαῖρε Θεοτόκε δωδεκάτειχε πόλις, καὶ πύλη χρυσήλατε, καὶ παστὰς ἀγλαόμορφε, ἀγλαόχρυσε τράπεζα, θεοκόσμητον σκήνωμα. Χαῖρε ἔνδοξε νύμφη ἡλιοστάλακτε, χαῖρε μόνη ψυχῆς ἡμῶν ἡ εὐπρέπεια.

Οἱ ἀναβαθμοί. Προκείμενον. «Εἰς πᾶσαν τὴν γῆν» Τὸ, Πᾶσα πνοή» Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν.

Τῷ καιρῷ ἐκείνῳ, παράγων ὁ Ἰησοῦς, ἐθεάσατο τελώνην ὀνόματι Λευΐν, καθήμενον ἐπὶ τὸ τελώνιον καὶ εἶπεν αὐτῷ· Ἀκολούθει μοι. Καὶ καταλιπὼν ἅπαντα, ἀναστὰς ἠκολούθησεν αὐτῷ· καὶ ἐποίησε δοχὴν μεγάλην ὁ Λευῒς αὐτῷ, ἐν τῇ οἰκίᾳ αὐτοῦ. Καὶ ἦν ὄχλος τελωνῶν πολὺς καὶ ἄλλων, οἳ ἦσαν μετ' αὐτῶν, κατακείμενοι. Καὶ ἐγόγγυζον οἱ γραμματεῖς αὐτῶν καὶ οἱ Φαρισαῖοι πρὸς τοὺς μαθητὰς αὐτοῦ λέγοντες. Διατί μετὰ τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίετε καὶ πίνετε; καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπε πρὸς αὐτούς. Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες· οὐκ ἐλήλυθα καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.

Ὁ Ν'. Δόξα. Ταῖς τοῦ Ἀποστόλου.

Καὶ νῦν, Ταῖς τῆς Θεοτόκου.

Στίχ. Ἐλέησόν με ὁ Θεός. Ἦχος πλ. β'.

Τὸν Ἀπόστολον Χριστοῦ, μαθητὴν καὶ αὐτόπτην, καὶ εὐαγγελιστὴν τοῦ Σωτῆρος, Ματθαῖον τὸν πανένδοξον, συνελθόντες ἅπαντες οἱ πιστοί, ἐν ᾠδαῖς πνευματικαῖς ἀνυμνήσωμεν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑ...

www.tezaurliturgic.ro



Εἶτα, τό, Σῶσον ὁ Θεὸς τὸν λαόν σου· *καὶ ψάλλομεν κανόνας τρεῖς· τῆς Θεοτόκου εἰς ς'. καὶ τοῦ Ἁγίου οἱ δύο εἰς η'.*

Ὁ κανὼν τῆς Θεοτόκου.

*Ὠδὴ α'.* Ἦχος α'. ὁ Εἱρμός.

Ὠδὴν ἐπινίκιον, ᾄσωμεν πάντες, Θεῷ τῷ ποιήσαντι » θαυμαστὰ τέρατα, βραχίονι ὑψηλῷ, καὶ σώσαντι τὸν » Ἰσραὴλ ὅτι δεδόξασται.

Ὡς μόνη τὸν ἄχρονον υἱὸν ἐν χρόνῳ, τεκοῦσα σαρκούμενον, Παναγία ἄχραντε, πάντα τὰ χρόνια τῆς παναθλίας μου ψυχῆς πάθη θεράπευσον.

Τὰ τραύματα Πάναγνε, τὰ τῆς ψυχῆς μου, καρδίας τὴν πώρωσιν, λογισμοῦ τὴν σκότωσιν, καὶ τοῦ νοὸς ἐκτροπὰς, ἀφάνισον ὡς συμπαθὴς ταῖς σαῖς δεήσεσι.

Τὸ φῶς ἡ κυήσασα τὸν Λυτρωτήν μου, τοῦ σκότους με λύτρωσαι, καὶ βασάνων ἄχραντε, τῶν αἰωνίων ἐκεῖ, ὅπως σωζόμενος ὑμνῶ τὰ μεγαλεῖά σου.

Νοός μου Πανάμωμε τὰς ἀμαυρώσεις, φωτί σου ἀπέλασον ἡ τὸ φῶς κυήσασα, τὸ ὑπὲρ ἔννοιαν· καὶ δώρησαί μοι ἀγαθή, τὸ φῶς προσβλέψαι τὸ ἐκ σοῦ, ἐξανατεῖλαν ἡμῖν.

Ὁ κανὼν τοῦ Ἁγίου.

Ἦχος α'. Σοῦ ἡ τροπαιοῦχος δεξιά.

Ματθαῖον τὸν θεόπτην εὐφημῶν, ἐπικαλοῦμαι τὴν χάριν τοῦ πνεύματος, ὅπως μοι ἐμπνεύσασα, φωτιστικῶς ἀπελάσῃ τὴν ἄγνοιαν, καὶ τὸν θεῖον πλοῦτον τὸν τῆς σοφίας δωρήσηται.

Σοῦ τὸν θεηγόρον φωτισμῷ, καταλαμπρύνας Σωτὴρ τῷ τῆς χάριτος, κόσμῳ ἐξαπέστειλας, Λόγε Θεοῦ, τῶν ἀγαθῶν ὡς αἴτιος, σοῦ τὴν παρουσίαν ἡμῖν εὐαγγελιζόμενον.

Χριστῷ τῷ Θεῷ μαθητευθείς, καὶ τὴν ἐκείνου πλουτήσας υἱότητα, Ματθαῖε παναοίδιμε, μυσταγωγὸς ἐδείχθης μυστηρίων Χριστοῦ, καὶ συγκληρονόμος αὐτοῦ τῆς δόξης γεγένησαι.



Θεοτοκίον.

Ἡ τῶν Ἀποστόλων χαρμονή, Θεογεννῆτορ πανάμωμε Δέσποινα, μήτηρ ὡς ὑπάρχουσα, τοῦ ἐν αὐτοῖς θεοπρεπῶς λαλήσαντος, σὺν αὐτοῖς δυσώπει, πυρὸς γεέννης ῥυσθῆναί με.

Ἕτερος κανὼν τοῦ Ἁγίου.

*Ἦχος δ'.* Ἀνοίξω τὸ στόμα μου.

Πλουσίως μετάδος μοι τῆς ἐνοικούσης σοι χάριτος, Ματθαῖε πανένδοξε, καὶ ὑπηρέτα Χριστοῦ, καὶ βοήσομαι, λαμπρῶς ἀνακηρύττων, καὶ μέλψω γηθόμενος τὰ σὰ θαυμάσια.

Τελείως κατέλιπες τῶν ἐπιγείων τὴν σύγχυσιν, τοῦ Λόγου ὡς ἤκουσας τοῦ σαρκωθέντος φωνῆς, καὶ τῆς χάριτος, ἐδείχθης οἰκονόμος, καὶ κῆρυξ θεόληπτος θεομακάριστε.

Αὐτόπτης γενόμενος καὶ ὑπηρέτης διέπρεψας, τοῦ Λόγου Ἀπόστολε, τοῦ πρὸ αἰώνων Πατρός, καὶ διέδραμες, αὐτοῦ τὴν παρουσίαν, εὐαγγελιζόμενος πᾶσι τοῖς ἔθνεσι.

Θεοτοκίον.

Θανάτου καθαίρεσιν καὶ τῆς φθορᾶς τὴν κατάλυσιν, ζωῆς τε φανέρωσιν, εὐηγγελίσω σοφέ, τῆς Παρθένου γὰρ, ἐν μήτρᾳ ἐνοικήσας, ὁ ἀπεριόριστος κόσμον ἀνέπλασε.

*Ὠδὴ γ'.* Ὁ Εἱρμός.

Στερεωθήτω ἡ καρδία μου, εἰς τὸ θέλημά σου » Χριστὲ ὁ Θεός· ὁ ἐφ' ὑδάτων οὐρανόν, στερεώσας τὸν » δεύτερον, καὶ ἑδράσας ἐν τοῖς ὕδασι, τὴν γῆν παντο- » δύναμε.

Τῆς στειρευούσης διανοίας μου, ἀκαρπίαν πᾶσαν

www.tezaurliturgic.ro



ἀπέλασον, καὶ καρποφόρον ἀρεταῖς, τὴν ψυχήν μου ἀνάδειξον, Παναγία Θεοτόκε, τῶν πιστῶν ἡ βοήθεια.

Ῥῦσαί με πάσης κατακρίσεως, καὶ πολλῶν σκανδάλων τοῦ ὄφεως, τοῦ αἰωνίζοντος πυρὸς καὶ τοῦ σκότους πανάμωμε, ἡ τὸ φῶς ἀποκυήσασα ἡμῖν τὸ ἀνέσπερον.

Τὸ ἀπαραίτητον κριτήριον, καὶ τὸ πῦρ ἐκεῖνο τὸ ἄσβεστον, καὶ τὴν ἀπόφασιν Ἁγνή, τὴν φρικτὴν ὅλως δέδοικα, σπεῦσον σῶσον πρὸ τοῦ τέλους, ἀγαθὴ τὸν ἱκέτην σου.

Εὐλογημένος τῆς κοιλίας σου, ὁ καρπὸς Παρθένε πανύμνητε· τοὺς γὰρ φθαρέντας τῷ καρπῷ, διὰ ξύλου Σταυροῦ Αὐτοῦ, ἀφθαρσίας κατέστησε κοινωνοὺς Θείᾳ χάριτι.

Τοῦ Ἁγίου. Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν.

Σὲ τὴν ἐνυπόστατον Χριστέ, σοφίαν ἀνεκήρυξε, μαρμαρυγαῖς ταῖς σαῖς αὐγαζόμενος, παντὶ τῷ κόσμῳ φανεῖσαν Δέσποτα, καὶ ζωὴν παρέχουσαν, καὶ βροτοὺς φωτίζουσαν, ὁ θεράπων σου Ματθαῖος φιλάνθρωπε.

Τὸ ῥεῖθρον δεξάμενος Χριστέ, σοφίας τὸ ἀείρρυτον, ὡς ποταμὸς ῥιζῶν γῆς ἀπέκλυσε, θεογνωσίας φωτὶ τὰ πέρατα, σοῦ δεικνὺς ὑπάρχουσαν, ἀληθῆ τὴν πρόρρησιν, ὁ αὐτόπτης σου Ματθαῖος φιλάνθρωπε.

Τῷ Χριστῷ ἑπόμενος σοφέ, σαφῶς τὸ εὐαγγέλιον, ὡς μαθητὴς αὐτοῦ διετύπωσας, θεολογίας τὸ φῶς δρεψάμενος παρ' αὐτοῦ Ἀπόστολε, καὶ Θεοῦ τὴν ἔνσαρκον παρουσίαν μηνύσας τρανώτατα.

Θεοτοκίον.

Μετὰ τῶν ἀΰλων λειτουργῶν, Παρθένε ἀπειρόγαμε, μετὰ πασῶν τῶν ἄνω δυνάμεων, μετὰ μαρτύρων καὶ Ἀποστόλων Χριστῷ, ὅνπερ ἐσωμάτωσας ἐξ ἀ-



γνῶν αἱμάτων σου, ἐκδυσώπει σωθῆναι τοὺς δούλους σου.

Ἕτερος. Τοὺς σοὺς ὑμνολόγους.

Τοὺς σοὺς Ἀποστόλους Θεοῦ Λόγε, φωστῆρας ἀνέδειξας ζωῆς, τὸν ζόφον ἀπελαύνοντας, τῆς ἀθεΐας Δέσποτα, καὶ ἐν τῇ θείᾳ δόξῃ σου, τὸν κόσμον ὅλον φωτίζοντας.

Τῇ σῇ καθοπλίσας παντευχίᾳ, Ματθαῖον τὸν ἄριστον Σωτήρ, τυράννων δυνατώτερον, τοῦτον εἰργάσω Δέσποτα, καὶ καθαιρέτην ἔδειξας, εἰδώλων πλάνης φιλάνθρωπε.

Γλώσσης τῆς πυρίνης σου ὁ φθόγγος, δαιμόνων ἐνέπρησε βωμούς, Ματθαῖε τὸ θεότευκτον, τοῦ Παρακλήτου ὄργανον· δι' οὗ Χριστὸς κηρύττεται πάντων ζωὴ ἐνυπόστατος.

Θεοτοκίον.

Σάλπιγξ θεολόγος φθεγγομένη, συντόνως ἐφώτισε λαούς, Ματθαίου τοῦ θεόφρονος, τὴν τῆς Τριάδος ἔλλαμψιν, τὴν ὑπὲρ νοῦν τε σάρκωσιν τοῦ Λόγου ἐκ σοῦ Πανάχραντε.

Κάθισμα. Ἦχος πλ. δ'. Τὴν σοφίαν καὶ λόγον.

Προσπελάσας Ἡλίῳ τῷ νοητῷ, παρ' αὐτοῦ τὰς ἀκτῖνας τὰς μυστικάς, ἐδέξω καὶ γέγονας ὡς ἀστὴρ φαεινότατος, καταυγάζων πάσης τῆς γῆς τὰ πληρώματα, καὶ σκεδάζων πλάνης ὀμίχλην μακάριε, ὅθεν τὴν φωσφόρον καὶ ἁγίαν σου μνήμην, πιστῶς ἑορτάζομεν, καὶ συμφώνως βοῶμέν σοι· Ματθαῖε Ἀπόστολε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἐκτελοῦσιν ἐν πίστει, τὴν ἁγίαν μνήμην σου.

Δόξα. ὁ αὐτός.

Ὡς Ἀπόστολος θεῖος ἀναδειχθείς, τοὺς ποικίλους

www.tezaurliturgic.ro



κινδύνους καρτερικῶς, ὑπέμεινας πανεύφημε, τοῦ Κυρίου Ἀπόστολε, καὶ τὸν δρόμον ἀθλήσει, τελέσας τῆς πίστεως, σὺν αὐτῷ ἐν ὑψίστοις, εὐφραίνῃ μακάριε· ὅθεν καὶ τῷ κόσμῳ, τὸ Χριστοῦ εὐαγγέλιον, κηρύξας ἐφώτισας, τὴν ὑφήλιον ἅπασαν, ὦ Ματθαῖε πανένδοξε, πρέσβευε Χριστῷ, τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

*Καὶ νῦν.* Θεοτοκίον.

Παναγία παρθένε μήτηρ Θεοῦ, τῆς ψυχῆς μου τὰ πάθη τὰ χαλεπὰ, ἴασαι δέομαι, καὶ συγγνώμην παράσχου μοι, τῶν ἐμῶν πταισμάτων ἀφρόνως ὧν ἔπραξα, τὴν ψυχὴν καὶ τὸ σῶμα μολύνας ὁ ἄθλιος· οἴμοι! τί ποιήσω ἐν ἐκείνῃ τῇ ὥρᾳ, ἡνίκα οἱ ἄγγελοι, τὴν ψυχήν μου χωρίζουσιν ἐκ τοῦ ἀθλίου μου σώματος; τότε Δέσποινα βοήθειά μοι γενοῦ, καὶ προστάτης θερμότατος, σὲ γὰρ ἔχω ἐλπίδα, ὁ ἀνάξιος δοῦλός σου.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

» Ἐν πνεύματι προβλέπων προφῆτα Ἀββακοὺμ, τὴν
» τοῦ Λόγου σάρκωσιν ἐκήρυττες βοῶν· ἐν τῷ ἐγγίζειν
» τὰ ἔτη ἐπιγνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀνα-
» δειχθήσῃ· δόξα τῇ δυνάμει σου Κύριε.

Παρθένε παναγία, ἀμόλυντε σκηνὴ μολυνθέντα πταίσμασι καθάρισόν με νῦν, τῶν οἰκτιρμῶν σου ῥανίσι καθαρωτάταις, καὶ δός μοι χεῖρα βοηθείας, ἵνα κράζω δόξα σοι, ἁγνὴ θεοδόξαστε.

Ναὸς ἡγιασμένος, ἐδείχθης τοῦ Θεοῦ, τοῦ ἐν σοὶ οἰκήσαντος Παρθένε ὑπὲρ νοῦν, αὐτὸν δυσώπει ἁμαρτιῶν ἡμᾶς ῥύπου ἀποκαθᾶραι, ὅπως οἶκος γνωρισθῶμεν, καὶ κατοικητήριον Πνεύματος.

Ἐλέησόν με μόνη, ἐλέους ἡ πηγὴν, Θεοτόκε τέξασα, καὶ λῦσον τὴν δεινὴν, τῆς ψυχῆς μου νόσον, καὶ πώρωσιν καρδίας, δακρύων ῥεῖθρα, καὶ κατάνυξιν πρὸ τέλους, θείαν δωρουμένη πρεσβείαις σου.



Νοήσας ὁ προφήτης, ἐν πνεύματι Θεοῦ, ὄρος σε προέγραψε κατάσκιον Ἁγνή· τοὺς ἐκτακέντας φλογμῷ πολλῶν ἐγκλημάτων, ἀποκαθαίρεις μεσιτείαις σου Παρθένε, μόνη τῶν βροτῶν ἡ ἀνόρθωσις.

Τοῦ Ἁγίου. Ὄρος σε τῇ χάριτι.

Εἰς πᾶσαν ὁ φθόγγος σου, τὴν γῆν ἐξελήλυθε, καὶ εἰς τὰ πέρατα σοφέ, τῆς οἰκουμένης σου τρανῶς ῥημάτων ἡ δύναμις, Δαβιτικῶς διαπρυσίως κηρύττουσα, τὴν σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Οἱ πόδες οἱ σοὶ προφητικῶς ὡραιώθησαν, τὴν ὑπὲρ λόγον γὰρ ἡμῖν εὐηγγελίσω προφανῶς, εἰρήνην θεόληπτε, διὰ σαρκὸς ἐμφανισθεῖσαν τοῖς πέρασιν, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Προφῆται Ἀπόστλοι, πανένδοξοι μάρτυρες, σὺν τῇ μητρὶ τοῦ Λυτρωτοῦ, ἐκδυσωπεῖτε ἐκτενῶς, ὅπως λυτρωθείημεν ἁμαρτιῶν καὶ αἰωνίου κολάσεως, καὶ πειρασμῶν καὶ κινδύνων καὶ θλίψεων.

Ἕτερος. Τὴν ἀνεξιχνίαστον θείαν βουλήν.

Τῷ ἐνυποστάτῳ σου Λόγῳ Θεέ, μεμαθητευμένος διέλυσε, κόσμου σοφίαν, ὁ Θεόπτης μαθητής, μεγαλοφώνως κράζων σοι· Δόξα τῇ δυνάμει σου Κύριε.

Τῷ μεμακαρισμένῳ ὑπὸ Χριστοῦ, ποίαν εὐφημίαν προσοίσωμέν σοι θεηγόρε; οὐκ ἰσχύει γὰρ βροτὸς, τὴν ἐπανθοῦσαν χάριν σοι, λόγῳ ἐξειπεῖν ἀξιάγαστε.

Σοῦ τὸν ἀκηλίδωτον καὶ ἀκραιφνῆ, νοῦν τεθεαμένος ὁ Ὕψιστος ὥσπερ λαμπάδα εἰς λυχνίαν ὑψηλὴν ἐν τῷ σκότει φαίνουσαν, πᾶσι θεοφάντορ προτέθεικε.



ΑΝΤΩΝΙΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ

www.tezaurliturgic.ro

Θεοτοκίον.

Ναὸς καὶ παλάτιον καὶ οὐρανὸς, ἔμψυχος ὀφθεῖσα Θεόνυμφε, τοῦ βασιλέως, ἐν ναῷ τῷ νομικῷ, ἀφιερώθης σήμερον, τούτῳ τηρουμένη Πανάχραντε.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

« Τὴν σὴν εἰρήνην δὸς ἡμῖν Υἱὲ τοῦ Θεοῦ, ἄλλον γὰρ »ἐκτός σου Θεὸν οὐ γινώσκομεν, τὸ ὄνομά σου ὀνομά»ζομεν, ὅτι Θεὸς ζώντων καὶ τῶν νεκρῶν ὑπάρχεις.»

Τὰς κόρας τῆς καρδίας μου διάνοιξον Ἁγνὴ, βλέπειν με τρανῶς τὴν θείαν λαμπρότητα, καὶ τὴν σὴν δόξαν τὴν ἀνέκφραστον, ὅπως ἐλέους τύχω καὶ ἐλεημοσύνης.

Ἐν δύο ταῖς θελήσεσι, τὸν ἕνα τῆς σεπτῆς, τέτοκας Τριάδος Πανάχραντε, φέροντα μίαν τὴν ὑπόστασιν· ὃν ἐκτενῶς δυσώπει πάντας ἡμᾶς σωθῆναι.

Πανάχραντε ὡς τέξασα σωτῆρα καὶ Θεὸν, πρέσβευε ἐκ πάσης με θλίψεως, καὶ νοσημάτων καὶ κακώσεων, σῶον συντηρηθῆναι, τὸν σὸν ἀχρεῖον δοῦλον.

Δυσώπησον, ὃν ἔτεκες Παρθένε ὑπὲρ νοῦν, σώζεσθαι τοὺς πίστει σοι κράζοντας· χαῖρε Παρθένε παναμώμητε εὐλογημένη μόνη, τοῦ κόσμου προστασία.

Τοῦ Ἁγίου. Ὁ φωτίσας τῇ ἐλλάμψει.

Ἐστάλαξας γλυκασμὸν εὐσεβείας τῶν λόγων σου, θείων ὄμβρων πανταχόθεν ἀκτῖσι λαμπόμενος, ἐκφανθεὶς τῇ χάριτι σαφῶς τοῦ νοητοῦ ἡλίου, παμμάκαρ θεόληπτε.

Σὺ Χριστοῦ τοῦ Θεοῦ Υἱὸς ἐχρημάτισας, καὶ ταῖς τούτου διδαχαῖς φωτιζόμενος πάντοτε, τὰς ψυχὰς ἐλάμπρυνας τῶν σοὶ θερμῶς προσομιλούντων, Ματθαῖε Κυρίου Ἀπόστολε.



Θεοτοκίον.

Μετὰ πάντων Ἀσωμάτων, ὅνπερ ἐσωμάτωσας Θεὸν Λόγον, Θεοτόκε Παρθένε, ἱκέτευε ἐξ ἀλόγων πράξεων, καὶ ἡδονῶν θανατηφόρων, ἐλευθερῶσαι τοὺς δούλους σου.

Ἕτερος. Ἐξέστη τὰ σύμπαντα.

Τὴν χάριν δεξάμενος, τοῦ Παναγίου Πνεύματος, θεῖον ἐνδιαίτημα ἐδείχθης, θείως διδάξας θεογνωσίας τὸ φῶς, πιστευθεὶς τὰ δόγματα Χριστοῦ, γράμμασιν ἐκτίθεσθαι, ὡς αὐτόπτης θεόκριτος.

Ἡ γλῶσσά σου κάλαμος, τοῦ Παρακλήτου γέγονεν, ὀξέως τὴν λύτρωσιν διδόντος, τοῖς ἐπιγνοῦσι τὴν δεσποτείαν αὐτοῦ, καὶ ταῖς σφῶν ἐμπνέοντος ψυχαῖς, γνῶσιν ἐπουράνιον, ὦ Ματθαῖε πανέντιμε.

Ἀστράπτοντα θαύμασι, καὶ ἰαμάτων χάρισι, σὲ Χριστὸς ἐξέπεμψε τῷ κόσμῳ, τὴν τῶν δαιμόνων καταπατοῦντα ἰσχὺν, καὶ ψυχὰς φωτίζοντα πιστῶν, πάντων τῶν ὑμνούντων σε, τῆς εἰρήνης τὸν κήρυκα.

Θεοτοκίον.

Ἁγίασμα ἔνδοξον, καὶ ἱερὸν ἀνάθημα, σήμερον ἡ πάναγνος Παρθένος, ἀνατεθεῖσα ἐν τῷ ναῷ τοῦ Θεοῦ, τῷ παμβασιλεῖ ἡμῶν Θεῷ, μόνῳ εἰς ἐνοίκησιν, συντηρεῖται ὡς οἶδεν αὐτός.

Ὠδὴ ς'. Ὁ Εἱρμός.

«Τὸν προφήτην Ἰωνᾶν, ἐκμιμούμενος βοῶ, τὴν ζωήν »μου Ἀγαθὲ, ἐλευθέρωσον φθορᾶς, καὶ σῶσόν με, Σω»τὴρ τοῦ κόσμου, κράζοντα δόξα σοι.

Μολυνθέντα με πολλαῖς ἁμαρτίαις δυσωπῶ, Σὲ τὴν ὄντως ἀγαθὴν, καὶ ἀμόλυντον σκηνὴν, ἀπόπλυνον, παντοίου ῥύπου, τῇ μεσιτείᾳ σου.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



Κυβερνήτης μοι γενοῦ, θαλαττεύοντι ἀεί, ἐν πελάγει τῶν δεινῶν τῶν τοῦ βίου πειρασμῶν, καὶ σῶσόν με, πρὸς σωτηρίας ὅρμον ἰθύνασα.

Τρικυμίαι λογισμῶν, καὶ παθῶν ἐπαγωγαί, καὶ βυθὸς ἁμαρτιῶν, τὴν ἀθλίαν μου ψυχήν, χειμάζουσι, βοήθησόν μοι, Ἁγία Δέσποινα.

Μεγαλεῖά σοι ἀεί, ἐποιήσατο Χριστός, ὃν ἱκέτευε Ἁγνή, μεγαλῦναι ἐπ' ἐμοί, τὰ πλούσια αὐτοῦ ἐλέη Θεοχαρίτωτε.

Τοῦ Ἁγίου. Ἐκύκλωσεν ἡμᾶς.

Κατέβαλες ὀφρὺν ἀνόμων Κύριε, καὶ ὕβριν ὑπερήφανον, ἐταπείνωσας, Ἀπόστολον τὸν σόν, δείξας τροπαιοῦχον τῇ δυνάμει σου, σὺ γὰρ ἰσχὺς τῶν ἀσθενούντων καὶ ἐπανόρθωσις.

Τὸν στέφανον εἴληφας τὸν τῆς ἐλπίδος ἔνδοξε, δι' οὗ νῦν στεφανούμεθα, ἐν τοῖς λόγοις σου ἐκήρυξας σοφέ, τὸν δημιουργὸν Ματθαῖε τῆς κτίσεως, τὸν εἰς ἡμῶν δόξαν πλακέντα, φύσει τοῦ σώματος.

Χριστὸς ὁ Κύριος ἔνδοξε, σαφῶς σ' ἐμυσταγώγησεν, εὐαγγέλιον συγγράψαι τὸ σεπτόν, δείξας ὑπηρέτησεν σε τῆς χάριτος· σὺ γὰρ ἡμῖν θεογνωσίας, τὸ φῶς ἐξήπλωσας.

Θεοτοκίον.

Παρθένε τὸν ἐκ σοῦ δι' ἀγαθότητα τεχθῆναι εὐδοκήσαντα, ἐκδυσώπησον ὡς πλάστην καὶ Θεόν, σῶσαι πειρασμῶν καὶ περιστάσεων, τοὺς ἐπὶ σοὶ τῇ Παναγίᾳ ἀεὶ ἐλπίζοντας.

Ἕτερος. Ἦλθον εἰς τὰ βάθη.

Εὐαγγελιστὴς ἀπὸ τελώνου, ὡς ἠκολούθησέ σοι,



μετασκεύασται ὁ θεηγόρος τῇ παναλκεῖ παντουργὲ δυνάμει σου, ὁ Ματθαῖος ὁ πανάριστος.

Ῥυθμίζεται τοῦ Εὐαγγελίου τοῖς ψυχοτρόφοις λόγοις, τῶν ἐθνῶν πληθὺς ἀνυψουμένη, πρὸς ἀρετῶν ὑψηλὴν ἀκρότητα, ὦ Ματθαῖε παμμακάριστε.

Ματθαῖος ζωγρεῖται θεοπλόκοις, τοῦ μαθητοῦ δικτύοις, τὰ συστήματα τῶν πιστευόντων, διὰ παντὸς πρὸς τὴν σὴν ἐπίγνωσιν, εὐεργέτα ποδηγούμενα.

Θεοτοκίον

Παρθένον τεκοῦσαν ἀναγράφων, εὐαγγελίζεταί Σε τὸν τὰ σύμπαντα πεποιηκότα, ἄνευ σπορᾶς καὶ φθορᾶς πανάμωμε, ὁ Ματθαῖος ὁ πανάριστος.

Κοντάκιον Ἦχος δ'. Ὁ ὑψωθείς.

Τοῦ τελωνείου τὸν ζυγὸν ἀποῤῥίψας, δικαιοσύνης τῷ ζυγῷ προσηρμόσθης, καὶ ἀνεδείχθης ἔμπορος πανάριστος, πλοῦτον κομισάμενος τὴν ἐξ ὕψους σοφίαν· ὅθεν ἀνεκήρυξας ἀληθείας τὸν λόγον, καὶ τῶν ῥαθύμων ἤγειρας ψυχάς, καθυπογράψας τὴν ὥραν τῆς κρίσεως.

Ὁ οἶκος.

Ἡ τοῦ ἐχθροῦ με τυραννὶς βιάζεται ἀπλήστως, καὶ τῆς ψυχῆς μου ὅλον τὸν σπόρον καθαρπάζει, Ματθαῖε φίλε Χριστοῦ. Ἀλλ' αὐτὸς τὸν σπόρον τῶν εὐχῶν σου δεδωκὼς πρὸς σὴν δουλείαν κάρπωσον, καὶ δεῖξον ὑμνῳδόν σου σμικρότατον, καὶ ὑφηγητήν με τῶν πολλῶν σου καὶ μεγάλων κατορθωμάτων, καὶ τῆς πρὸς Χριστόν σου σχέσεως, πῶς πάντα παρευθὺς ἐγκαταλείψας, ἠκολούθησας θερμῶς τῷ κεκληκότι, πρῶτος γεγονὼς εὐαγγελιστὴς ἐν τῷ κόσμῳ, καθυπογράψας τὴν ὥραν τῆς κρίσεως.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro

# Τῇ 16 Νοεμβρίου, μνήμην ἐπιτελοῦμεν τοῦ Ἁγίου ἐνδόξου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ματθαίου.

« Σώζεις Ἰησοῦ καὶ τελώνας, Σοὶ χάρις·
» Οὕτω βοᾷ Ματθαῖος ἐκ πυρὸς μέσου.
» Ἀκάματον δεκάτῃ πῦρ Ματθαῖον ἔκτανεν ἕκτῃ ».

Οὗτος ὁ θεῖος Ἀπόστολος καθήμενος εἰς τὸ τελωνεῖον, ἤκουσε νὰ εἴπῃ ὁ Κύριος εἰς αὐτὸν «Ἀκολούθει μοι». Ὅθεν κατ' αὐτὴν τὴν ὥραν, ἀφῆκεν ὅλα καὶ ἠκολούθησεν εἰς τὸν Κύριον, ποιήσας ἐν τῷ οἴκῳ του φιλοξενίαν μεγάλην εἰς αὐτὸν, καθὼς λέγει ὁ ἴδιος, εἰς τὸ ἰδικόν του Εὐαγγέλιον· καὶ ἔκτοτε ἦτο συνηριθμημένος μὲ τοὺς λοιποὺς ἀποστόλους. Ἀφοῦ δὲ ἐδέχθη τὴν δύναμιν τοῦ Ἁγίου Πνεύματος, ἐν τῇ ἡμέρᾳ τῆς Πεντηκοστῆς, καὶ ἐσοφίσθη τὰ θεῖα, τότε ἔγραψε τὸ Εὐαγγέλιόν του εἰς γλῶσσαν Ἑβραϊκὴν, μετὰ ὀκτὼ χρόνους ἀπὸ τῆς ἀναλήψεως τοῦ Χριστοῦ, καὶ ἔστειλεν αὐτὸ εἰς τοὺς νεοφωτίστους Ἰουδαίους· διδάξας δὲ τοὺς Πάρθους καὶ Μήδους, καὶ συστησάμενος ἐκκλησίας εἰς αὐτοὺς καὶ πολλὰ θαύματα ποιήσας, ὕστερον ἐτελειώθη διὰ πυρὸς ὑπὸ τῶν ἀπίστων. Ὅτε δὲ ἔζη ἀκόμη ὁ θεῖος οὗτος Ἀπόστολος, οἱ μὲν ἄλλοι συμμαθηταί του καὶ συναπόστολοι, περιήρχοντο ἕκαστος τὸν τόπον καὶ τὴν πόλιν, ὅπου ἔλαβεν εἰς κλῆρον, οὗτος δὲ εἰς τοὺς Πάρθους εὑρισκόμενος, ἀνέβη ἐπάνω εἰς ἕνα βουνὸν μόνος, καὶ ἐκεῖ ὑπέμεινε μονοχίτων καὶ χωρὶς στέγην· ἀφοῦ δὲ ἐπέρασε μερικὸς καιρὸς, ἐφάνη εἰς αὐτὸν ὡς παιδίον ὁ Θεὸς ἐκεῖνος, ὅπου διέπλασεν ἀπὸ τὸ χῶμα τὸν ἄνθρωπον, καὶ ἐξαπλώσας τὴν δεξιάν του, δίδει εἰς τὸν Ἀπόστολον μίαν ῥάβδον καὶ λέγει αὐτῷ. Λάβε ταύτην καὶ καταβὰς ἀπὸ τὸ βουνὸν, μετάβηθι εἰς τὴν πόλιν Μυρμήκην, καὶ φύτευσον τὴν ῥάβδον ταύτην εἰς τὸ κατώφλιον τοῦ ἐκεῖσε ἁγίου οἴκου, ἡ ὁποία ῥιζωθεῖσα καὶ ὑψωθεῖσα ἀπὸ τὴν ἰδικήν μου δεξιὰν χεῖρα, θέλει γένει δένδρον πολύκαρπον, καὶ ἀπὸ μὲν τὰ ἄκρα τῶν κλάδων του, θέλει καταβῇ γλυκασμὸς μέλιτος, ἀπὸ δὲ τὰς ῥίζας του θέλει ἀναβλύσει πηγὴ ὕδατος, ἀπὸ τὴν ὁποίαν λουόμενοι οἱ θηριογνώμονες ἄνδρες τῆς πόλεως καὶ ἀπὸ τὸν γλυκασμὸν τοῦ δένδρου μεταλαμβάνοντες, θέλουσι γλυκανθῇ κατὰ τὰς αἰσθήσεις, καὶ θέλουν παύσει ἀπὸ τοῦ νὰ πράττουν παρανομίας.

Τότε ὁ Ματθαῖος δεχθεὶς εὐλαβῶς τὴν δοθεῖσαν ῥάβδον παρὰ τοῦ Κυρίου, ἀφῆκε τὸ βουνὸν, καὶ μετέβη εἰς τὴν Μυρμήκην· ἡ δὲ γυνὴ τοῦ βασιλέως τῶν Πάρθων, Φουλβάνα ὀνόματι, πονηρὸν δαιμόνιον ἔχουσα, ἐσυναπάντησε τὸν Ἀπόστολον ὁμοῦ μὲ τὸν υἱὸν καὶ νύμφην της, οἵτινες καὶ αὐτοὶ ἐνεργοῦντο ἀπὸ ἀκάθαρτα πνεύματα, καὶ μὲ φωνὰς τραχείας καὶ μὲ κινήματα ἄγρια, ἐφώναζον τριγύρω εἰς τὸν Ἀπόστολον λέγοντες. Ποῖος σὲ ἠνάγκασε νὰ ἔλθῃς ἐδῶ εἰς τοὺς ἰδικούς μας τόπους; ἢ ποῖος εἶναι ἐκεῖνος, ὅστις σοὶ ἔδωκε τὴν ῥάβδον ταύτην, πρὸς ἰδικήν μας ἀπώλειαν; Τότε ὁ Ἀπόστολος τοῦ Χριστοῦ, μὲ πραεῖαν φωνὴν τὰ μὲν ἀκάθαρτα ἐπετίμησε πνεύματα, τοὺς δὲ πάσχοντας καὶ ἀτακτοῦντας ἰάτρευσε, καὶ ἔκαμεν αὐτοὺς νὰ τῷ ἀκολουθοῦν μὲ εὐταξίαν καὶ φρόνησιν. Ὁ δὲ τῆς πόλεως ἐκεῖνος ἐπίσκοπος, Πλάτων ὀνόματι, μαθὼν τὴν παρουσίαν τοῦ Ἀποστόλου, ἐξῆλθε τῆς πόλεως μὲ τὸν κλῆρον καὶ τὸν προϋπήντησε, καὶ οἱ δύο ὁμοῦ εἰσῆλθον εἰς τὴν πόλιν ἔμπροσθεν εἰς ὅλους. Τότε ὁ Ἀπόστολος ἀκουμβήσας τὴν ῥάβδον εἰς τὴν γῆν, ἐδοξολόγησε τὸν Θεὸν, ὅπου ἐφάνη εἰς αὐτὸν ὡς

www.tezaurliturgic.ro

παιδίον, καὶ τὸν ἐπρόσταξε νὰ κάμῃ τοῦτο. Καί, ὢ τοῦ θαύματος! παρευθὺς ἡ ξηρὰ ῥάβδος ἐῤῥιζώθη καὶ κλάδους καὶ καρποὺς ἀνεβλάστησεν, οἱ ὁποῖοι ἔσταζον τὴν γλυκύτητα τοῦ μέλιτος, καθὼς εἶπεν ὁ Κύριος· ἀνέβλυσε δὲ καὶ πλησίον τῆς ῥίζης πηγὴ ὕδατος, καθαρωτάτου καὶ γλυκυτάτου· ὥστε ὅλοι οἱ παρατυχόντες ἐξεπλάγησαν διὰ τὸ παράδοξον τοῦτο θέαμα. Καὶ ἐπειδὴ ἡ φήμη αὕτη διεδόθη εἰς κάθε μέρος τῆς πόλεως, συνέτρεχον ὅλα τὰ πλήθη, διὰ νὰ ἰδοῦν τὸ παράδοξον· οἱ ὁποῖοι ἀπολαμβάνοντες τὴν ἐκ τοῦ δένδρου γλυκύτητα καὶ λουόμενοι εἰς τὴν πηγὴν παρευθὺς ἀπέβαλλον ἀπὸ τὴν ψυχήν των τὴν μανίαν καὶ θηριώδη ὠμότητα, ὅπου εἶχον εἰς τὴν πλάνην τῆς εἰδωλολατρείας. Πολλὰ λοιπὸν παθὼν ἀπὸ τὸν βασιλέα, ὁ τοῦ Κυρίου ἀπόστολος καὶ διὰ πυρὸς τελειωθείς, ὕστερον ἔκαμε τὸν βασιλέα νὰ ἐπιστρέψῃ εἰς τὴν τοῦ Χριστοῦ πίστιν, διὰ τοῦ θαύματος, ὅπου ἐνεργήθη μὲ τὸ μέσον τοῦ ἁγίου λειψάνου του· ὅστις βασιλεὺς βαπτισθεὶς μετωνομάσθη Ματθαῖος· καὶ συντρίψας τὰ εἴδωλα κατέπεισε τοὺς ὑπηκόους του καὶ ἐπίστευσαν ὅλοι εἰς τὸν Χριστόν. Εἶτα καὶ ἐπίσκοπος γενόμενος, ἀφῆκε τὸν θρόνον εἰς τὸν υἱόν του, κατὰ τὴν διάταξιν ὅπου ἐποίησεν εἰς αὐτόν, ἐν ὀπτασίᾳ ὁ θεῖος Ἀπόστολος.

Ταῖς τοῦ Ἁγίου ἐνδόξου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ματθαίου πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἡμῶν, τὰς τῶν αἱρέσεων ἐπαναστάσεις κατάβαλε, καὶ ἡμᾶς ἐν ὁμονοίᾳ καὶ εἰρηνικῇ καταστάσει διαφύλαξον καὶ τῆς ἐπουρανίου σου βασιλείας ἀξίωσον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ὠδὴ ζ'. Ὁ Εἱρμός

» Τοὺς ἐν καμίνῳ παῖδάς σου Σωτήρ, οὐχ ἥψατο οὐ-
» δὲ παρηνώχλησε τὸ πῦρ· τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στό-



» ματος ὕμνουν καὶ εὐλόγουν λέγοντες· εὐλογητὸς ὁ
» Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Τὴν μιανθεῖσαν ἄχραντε ψυχήν, ἁγίασον πάντοτε τοῦ δούλου σου Ἁγνή, καὶ τοῦ νοὸς δεινὰς αἰχμαλωσίας, καὶ καρδίας πώρωσιν, καὶ τῶν δαιμόνων ὁρμὰς τάχος ἀφάνισον.

Νενεκρωμένον πάθεσι σαρκὸς Πανάμωμε, ζώωσον τὸν νοῦν μου, καὶ Θεῷ τὰ ἀρεστὰ ἐπιτελεῖν ἐνίσχυσόν με, ἵνα μεγαλύνω σε, ἵνα δοξάζω ἀεὶ τὴν ἀγαθότητά σου.

Νέκρωσόν μου Δέσποινα ἁγνή, τὰ πάθη τῆς σαρκός τε, καὶ ψυχῆς ταπεινῆς· ῥύπον δεινὸν Παρθένε ἐναπόσμηξον, καὶ τῶν πολεμούντων με δεινῶς, πονηροτάτων ἐχθρῶν, ῥῦσαι καὶ σῶσόν με.

Σοὶ Παναγία ἄχραντε ἁγνή, οἱ δοῦλοί σου πάντοτε ἡμέρας καὶ νυκτός, προσπίπτομεν συντετριμμένῃ διανοίᾳ, δυσωποῦντες λύτρωσιν, ἁμαρτημάτων εὑρεῖν ἡμᾶς ταῖς σαῖς προσευχαῖς.

Τοῦ Ἁγίου. Σὲ νοητὴν Θεοτόκε κάμινον.

Ταῖς θεϊκαῖς ἀστραπαῖς πυρούμενος, ἀντανακλάσεις μυστικῶς ἀντιπέμπεις αὐγοειδεῖς Ματθαῖε παμμακάριστε, Λόγον γὰρ ἐκήρυξας σεσαρκωμένον τὸν ἄσαρκον, τὸν αἰνετὸν τῶν πατέρων, Θεὸν καὶ ὑπερένδοξον.

Θεουργικαῖς παντουργὲ δυνάμεσι, τὸν θεηγόρον μαθητήν, καθοπλίσας θαυματουργόν, τοῦτον ἀπετέλεσας· νόσους γὰρ ἀπήλασε, καὶ μαλακίας ἰάσατο, τὸν αἰνετόν σε κηρύττων, Θεὸν καὶ ὑπερένδοξον.

Φθοροποιῶν ἐξελοῦ με Κύριε, ἁμαρτημάτων καὶ παθῶν, ὁ ἀφθόρως ἀποτεχθεὶς ἐκ τῆς Θεομήτορος, πᾶσιν ἀφθαρσίαν τε τοῖς μελῳδοῦσι δωρούμενος, ὁ αἰνετὸς τῶν πατέρων Θεὸς καὶ ὑπερένδοξος.

www.tezaurliturgic.ro


Ἕτερος. Οὐκ ἐλάτρευσαν.

Ἐχρημάτισας, τοῦ πρώτου ἀπαυγάσματος, θεῖον ἐκτύπωμα, ὡς μαθητὴς ταῖς αὐτοῦ, ἀκτῖσι πυρούμενος, ᾧ ψάλλων ἔλεγες· ὑπερύμνητε, ὁ τῶν πατέρων Κύριος καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὡς διάκονος, τοῦ Λόγου παμμακάριστε, θείοις σκηνώμασιν, ὅπου Χριστὸς κατοικεῖ, αὐτὸς κατεσκήνωσας, ὡς σοὶ ὑπέσχετο ὁ Ὑπέρθεος, ὁ τῶν πατέρων Κύριος καὶ Θεὸς μόνος τῶν ὅλων.

Τὰ νοσήματα, Ματθαῖε φυγαδεύονται καὶ δραπετεύεται ἡ τῶν δαιμόνων πληθὺς, τοῖς ἐν σοὶ χαρίσμασι τοῦ θείου Πνεύματος, ἐν οἷς ἔψαλλες· ὁ τῶν πατέρων Κύριος καὶ Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Δορυφορείτωσαν, σήμερον τὰ σύμπαντα, τῇ βασιλίδι Μητρὶ, ὁ οὐρανὸς καὶ ἡ γῆ, Ἀγγέλων τὰ τάγματα, καὶ τῶν βροτῶν ἡ πληθὺς, καὶ βοάτωσαν· ἐν τῷ ναῷ εἰσάγεται ἡ χαρὰ καὶ ἡ λύτρωσις.

Ὠδὴ η΄. Ὁ Εἱρμός

» Ὃν φρίττουσιν Ἄγγελοι, καὶ πᾶσαι στρατιαί, ὡς
» κτίστην καὶ Κύριον, ὑμνεῖτε ἱερεῖς, δοξάσατε παῖδες,
» εὐλογεῖτε λαοί, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶ-
» νας.

Σαρκοῦται ὁ ἄσαρκος, ἐκ σοῦ θεοπρεπῶς, ὃν αἴτησαι Πάναγνε, τὰ πάθη τῆς ἐμῆς ψυχῆς θανατῶσαι, καὶ ζωῶσαι αὐτὴν, νεκρωθεῖσαν κακίστῃ ἁμαρτίᾳ.

Ἴασω τὸ σύντριμμα Ἀδὰμ τοῦ χοϊκοῦ, Σωτῆρα κυήσασα Παρθένε ὑπὲρ νοῦν, αὐτὸν ἐκδυσώπει, τὰς πληγὰς τῆς ἐμῆς ψυχῆς θεραπεῦσαι, ἀνίατα νοσούσης.

Ἀνάστησον κείμενον, εἰς βάθη με κακῶν, τοὺς νῦν πολεμοῦντάς με, πολέμησον ἐχθρούς· τρωθέντα ἀτόποις ἡδοναῖς τὴν ψυχὴν, Ἁγνὴ μὴ παρίδῃς, ἀλλ' οἴκτειρον καὶ σῶσον.

Ἰάτρευσον ἄχραντε, τὰ πάθη τῆς ἐμῆς καρδίας κυήσασα, τὸν πάντων ἰατρὸν, καὶ τῆς τῶν δικαίων δεῖξον μέτοχον, Παρθένε μερίδος, Χριστὸν ἐκδυσωποῦσα.

Τοῦ Ἁγίου. Ἐν καμίνῳ παῖδες.

Τὸν τεχθέντα Λόγον ἐκ Πατρὸς, πρὸ πάντων τῶν αἰώνων, τὴν φύσιν τὴν τῶν ἀνθρώπων, ἐνδυσάμενον Χριστὸν, ἐκήρυξας ἔνδοξε, καὶ ἐβόας· πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τὸν δόντα λύτρον ἑαυτὸν, ὑπὲρ παντὸς τοῦ κόσμου, καὶ πάθει τοὺς πεπτωκότας, ἀναστήσαντα Χριστὸν, ἐδόξασας ἔνδοξε, καὶ ἐβόας· πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Σὺν ἀγγέλοις, Μήτηρ τοῦ Θεοῦ, καὶ σὺν τοῖς Ἀποστόλοις καὶ Μάρτυσι καὶ Προφήταις, ἐκδυσώπησον Χριστὸν, σῶσαι τοὺς κραυγάζοντας· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἕτερος. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Νεύσεσι πρὸς Σὲ ταῖς ἀνενδότοις, Ματθαῖος ὁ Ἱερώτατος θεούμενος, θέσει χρηματίσας δὲ, φύσει ὅπερ πέφυκας, τὴν οἰκουμένην Δέσποτα, εἵλκυσε ψάλλειν σοι· τὸν Κύριον, ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

www.tezaurliturgic.ro



Ὥσπερ ἀστραπὴν τῇ οἰκουμένῃ, ὁ Λόγος σὲ θεολόγον ἐξαπέστειλε, ζόφον μὲν διώκοντα, ἔθνη δὲ φωτίζοντα, θεολογίας δόγμασιν, ὅθεν καὶ ἔψαλλες· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Λόγῳ καθαρῷ καὶ διανοίᾳ, Θεῷ σοι προσομιλῆσαι ἐξεγένετο, ὕλην γὰρ ὡς ἔτεμες, τούτῳ προσεπέλασας, καὶ συνεκράθης ἔνδοξε, ὅθεν καὶ ἔψαλλες· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἐπ' εὐεργεσίᾳ τῶν ἀνθρώπων, ὁ Λόγος σωματωθῆναι κατηξίωσε, πύλην παρθενίας γάρ, ὥδευσεν ὁ Κύριος, καὶ Θεοτόκον ἔδειξε, διὸ κραυγάζομεν· τὸν Κύριον, ὑμνεῖτε τὰ ἔργα καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

» Τὴν φωτοφόρον νεφέλην, ἐν ᾗ ὁ πάντων Δεσπό-
» της, ὡς ὑετὸς ἐξ οὐρανοῦ, ἐπὶ πόκον κατῆλθε, καὶ ἐ-
» σαρκώθη δι' ἡμᾶς, γενόμενος ἄνθρωπος, ὁ ἄναρχος,
» μεγαλύνωμεν πάντες, ὡς μητέρα τοῦ Θεοῦ ἡμῶν ἁγνήν.

Φιλαμαρτήμων ὑπάρχων, ἐν ἀμελείᾳ διάγω· καὶ τὸ κριτήριον ἁγνή, τὸ ἀδέκαστον τρέμω· ἐν ᾧ με τήρησον ταῖς σαῖς ἁγίαις δεήσεσι Θεόνυμφε, ἀκατάκριτον ὅπως, ὡς προστάτην μακαρίζω σε ἀεί.

Φρίττω τὸ βῆμα Παρθένε, καὶ τὸ ἀλάθητον ὄμμα, τοῦ σοῦ Υἱοῦ πράξεις αἰσχρὰς, ἐπὶ γῆς ἐκτελέσας, καὶ διὰ τοῦτό σοι βοῶ, πανεύσπλαγχνε Δέσποινα, βοήθει μοι καὶ τῆς τότε ἀνάγκης, ἐξελοῦ με καὶ διάσωσον Ἁγνή.

Ὢς φοβερὰ ἡ ἡμέρα, τῆς ἐξετάσεως, Κόρη, ὡς ἡ ἀπόφασις φρικτή, ὡς δεινὴ ἡ αἰσχύνη! τίς ὑποστήσεται λοιπὸν πανάχραντε Δέσποινα; ἐλέησον τὴν ἀθλίαν ψυχήν μου καὶ πρὸ τέλους δός μοι ἄφεσιν Ἁγνή.

Φῶς ἡ τεκοῦσα τὸ θεῖον, ἐσκοτισμένον με πάσαις, ταῖς προσβολαῖς τοῦ πονηροῦ, καὶ κακίαις ἁπάσαις, καὶ παροργίζοντα Θεόν, πανάμωμε φώτισον, πρὸς καλὰς ἐργασίας, ὡς αἰτία οὖσα πάντων τῶν καλῶν.

Τοῦ Ἁγίου. Τύπον τῆς ἁγνῆς λοχείας σου.

Φθάσας τὴν πηγὴν τὴν ἄφθονον, τῆς τρισηλίου θεοφάντορ ἐλλάμψεως, καὶ καθαρώτερον κατατρυφᾷ, καὶ τρανώτερον τῆς θεώσεως τῆς ὑπὲρ ἔννοιαν, ἀγγέλοις συγχορεύων, ἀκαταπαύστως ὑπερένδοξε.

Χριστοῦ κοινωνὸς γενόμενος, διδασκαλίας καὶ τοῦ θείου κηρύγματος, τὰ οὐράνια περιπολεύεις σκηνώματα, σὺν αὐτῷ θεορρῆμον μακάριε, ὑπὲρ ἡμῶν πρεσβεύων Ματθαῖε θεῖε Ἀπόστολε.

Φάος τὸ τρισσῶς ἑνούμενον, μοναδικῶς τε πάλιν ξένως τρισσούμενον ἀνεκήρυξας, πανευσεβῶς Ματθαῖε πάνσοφε, φωτιζόμενος αἴγλῃ τῆς χάριτος, διό σε δυσωποῦμεν, ὑπὲρ ἡμῶν ἀεὶ ἱκέτευε.

Θεοτοκίον.

Μόνη τοὺς βροτοὺς ἐθέωσας, σωματωθέντα Λόγον ἀποκυήσασα, ὃν ἱκέτευε σὺν ἀποστόλοις καὶ μάρτυσι, Παναγία Παρθένε Θεόνυμφε, ὑπὲρ ἡμῶν τῶν πιστῶς μακαριζόντων καὶ τιμώντων σε.

Ἕτερος. Ἅπας γηγενής.

Κάλλους νοητοῦ, ἐδέξω διάδημα θεῖον Ἀπόστολε, καὶ τῆς βασιλείας δὲ, εὐπρεπεστάτῳ στέφει κεκόσμησαι, δεξιᾷ παντοκράτορι, καὶ διαλάμπεις σοφὲ, σὺν ἀγγέλοις,

www.tezaurliturgic.ro

θρόνῳ παριστάμενος, τοῦ δεσπότου Χριστοῦ παμμακάριστε.

Ξύλου τῆς ζωῆς, ἀξίως τετύχηκας κῆρυξ τοῦ ζῶντος Θεοῦ, εὐαγγελισάμενος, ζωῆς τῷ κόσμῳ θείαν ἐπίσκεψιν, τῷ γὰρ φυτῷ τῆς γνώσεως, οὐ διεφθάρης τὸν νοῦν, διαμείνας ἄσειστος ἀκράδαντος, Ἐκκλησίας κρηπὶς παμμακάριστε.

Νύμφην τοῦ Χριστοῦ, ἐνθέως ἐκόσμησας Εὐαγγελίῳ σου, ὥσπερ διαδήματι, τὴν Ἐκκλησίαν θεομακάριστε, καὶ νῦν τὴν θείαν μνήμην σου πανηγυρίζει φαιδρῶς, ἣν ῥυσθῆναι πάσης περιστάσεως, καὶ κινδύνων δεινῶν καθικέτευε.

Θεοτοκίον.

Κόλπων οὐκ ἐκςὰς, ἀνάρχου γεννήτορος Λόγος ὁ ἄναρχος, ὡς εὐαγγελίζεται, Ματθαῖος γράφων Θεὸς σεσαρκωται, ἐκ σοῦ Ἁγνὴ πανύμνητε, τὴν τῶν ἀνθρώπων μορφὴν, ὁλοτρόπως πᾶσαν ἐνδυσάμενος, καὶ τὰ ταύτης λαβὼν ἰδιώματα.

Ἐξαποστειλάριον.

Τοῖς μαθηταῖς συνέλθωμεν.

Σκηνοποιοὺς ὁ Κύριος, ἁλιεῖς καὶ τελώνας, ἐκ πάντων ἐκλεξάμενος, διδασκάλους ἐκπέμπει, πρὸς τὴν ὑφήλιον πᾶσαν, τοῖς βροτοῖς ἀναγγεῖλαι, ζωῆς τὸ Εὐαγγέλιον· οὗπερ ὤφθης Ματθαῖε παναληθῶς, συγγραφεὺς, Ἀπόστολος καὶ αὐτόπτης, Χριστοῦ τοῦ εὐδοκήσαντος, ἐκ Παρθένου τεχθῆναι.

Ἕτερον. Ἦχος γ΄. Ἐν πνεύματι τῷ ἱερῷ.

Τοῦ τελωνείου τὸν ζυγὸν, ἀπορρίψας ἐμφρόνως, Χριστῷ κατηκολούθησας, ὦ Ματθαῖε θεόφρον, τοῖς ἴχνεσι δὲ τοῖς αὐτοῦ, θαυμαστῶς ἑπόμενος, ἐν μετοχῇ ἐγεγόνεις, τῆς αὐτοῦ βασιλείας, καὶ τῆς δόξης κοινωνὸς, καὶ μύστης τῶν ἀπορρήτων.



Θεοτοκίον. Ὁ αὐτός.

Τὰς παναγίας χεῖράς σου, Θεοτόκε Παρθένε, αἷς τὸν Κτίστην ἐβάστασας, ἔπαρον εἰς πρεσβείαν, ὑπὲρ ἡμῶν τῶν σῶν δούλων, ὅπως ῥύσηται ἡμᾶς, προσβολῆς πάσης δαιμόνων, καὶ τοῦ τυχεῖν Κόρη ἁγνὴ, τῶν μελλόντων ἀγαθῶν, ὡς ἀγαθὸς ἀξιώσῃ.

## Εἰς τοὺς Αἴνους

Ἱστῶμεν στιχ. δ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Ἔλαμψας Ἀπόστολε, φωτοειδὴς ὥσπερ ἥλιος, ταῖς ἀκτῖσι τοῦ Πνεύματος, καὶ πᾶσαν κατηύγασας, οἰκουμένην μάκαρ, τῇ θεογνωσίᾳ, καὶ ἀπεδίωξας ἀχλὺν, πολυθείας Ματθαῖε πάνσοφε· διό σου τὴν ὑπέρφωτον, καὶ ἀξιάγαστον σήμερον, ἐκτελοῦμεν πανήγυριν, ὡς πηγὴν ἁγιάσματος.

Ἐν ὕψει καθήμενος, θεογνωσίας Ἀπόστολε, ὑπεδέξω τοῦ Πνεύματος, τὴν αἴγλην φανεῖσάν σοι, τοῦ πυρὸς ἐν εἴδει, καὶ γλώσσῃ πυρίνῃ, πᾶσαν κατέφλεξας σαφῶς, τῆς ἀσεβείας ὕλην πολύθεον· διό σε ὡς Ἀπόστολον, καὶ θεηγόρον γεραίρομεν, τὴν ἁγίαν σου σήμερον, ἐκτελοῦντες πανήγυριν.

Ἐβρόντησας πάνσοφε, τῇ οἰκουμένῃ διδάγματα, ἱερὰ καὶ σωτήρια, καὶ πᾶσαν ἐκάθηρας εἰδωλομανίας, τὴν κτίσιν Ματθαῖε, καὶ κατεφώτισας λαοὺς, Εὐαγγε-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ

www.tezaurliturgic.ro

λίου ταῖς ἐπιλάμψεσιν· εἰδώλων τὰ τεμένη δὲ, καταστρεψάμενος χάριτι, ἐκκλησίας εἰς αἴνεσιν, τοῦ Θεοῦ ᾠκοδόμησας.

Ματθαῖος ὁ θεόπνευστος, ὁ παμφαὴς καὶ ὑπέρτιμος, τῶν ἐθνῶν ὁ διδάσκαλος, σαγήνη ἡ ἔνθεος, ἐκ τῆς ἀπωλείας, τοῦ βυθοῦ ζωγροῦσα, θεολογίας ὑψηλῆς, ὁ ἀληθέστατος κῆρυξ ἅπαντας, Χριστοῦ πρὸς τὴν ἐπίγνωσιν, νῦν δεξιῶς εἱστιάσατο, τὰ αὐτοῦ κατορθώματα, προτιθεὶς πανδαισίαν τερπνήν.

Δόξα. Ἦχος β'.

Ζυγὸν λιπὼν ἀδικίας, καὶ χρυσὸν ἀπορρίψας πλεονεξίας, ζυγῷ δικαιοσύνης προστρέχεις, καὶ μὴ κενούμενον πλοῦτον ἁρπάζεις, ὡς ἐχέφρων ἔμπορος, ἀνταλλαξάμενος τῶν προσκαίρων τὰ μόνιμα, καὶ τῶν ἀπολλυμένων τὰ διαμένοντα· τὸν γὰρ θεολαμπῆ, καὶ πολύτιμον μαργαρίτην κτησάμενος, τὰ Καίσαρος Καίσαρι, καὶ τὰ κάτω συρόμενα, ἐμφρόνως ἀπέλιπες, καὶ τῷ παμβασιλεῖ εὐπειθῶς ἀκολουθήσας Χριστῷ, πᾶσαν τὴν κτίσιν ἐπλούτισας, εὐαγγελικαῖς θεηγορίαις σοφέ. Ἀλλ' αἴτησαι καὶ νῦν, Ματθαῖε πανάριστε, τοῖς σε τιμῶσι, σωτηρίαν καὶ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Σήμερον τῷ ναῷ προσάγεται, ἡ πανάμωμος Παρθένος, εἰς κατοικητήριον τοῦ παντάνακτος Χριστοῦ, καὶ πάσης τῆς ζωῆς ἡμῶν τροφοῦ. Σήμερον τὸ καθαρώτατον ἁγίασμα, ὡς τριετίζουσα δάμαλις, εἰς τὰ Ἅγια τῶν Ἁγίων εἰσάγεται. Ταύτῃ ἐκβοήσωμεν, ὡς ὁ Ἄγγελος· χαῖρε μόνη, ἐν γυναιξὶν εὐλογημένη.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

---



## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Ὁ Ἀπόστολος.

Προκείμενον. Ἦχος πλ. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου, τὸ ἀνάγνωσμα.

Ἀδελφοί, λέγει ἡ γραφή. Πᾶς ὁ πιστεύων ἐπὶ τῷ Θεῷ, οὐ καταισχυνθήσεται. Οὐ γάρ ἐστι διαστολὴ Ἰουδαίου τε καὶ Ἕλληνος· ὁ γὰρ αὐτὸς Κύριος πάντων πλουτῶν εἰς πάντας τοὺς ἐπικαλουμένους αὐτόν. Πᾶς γὰρ ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου σωθήσεται. πῶς οὖν ἐπικαλέσονται εἰς ὃν οὐκ ἐπίστευσαν; πῶς δὲ πιστεύσουσιν οὗ οὐκ ἤκουσαν; πῶς δὲ ἀκούσωσι χωρὶς κηρύσσοντος; πῶς δὲ κηρύξωσιν ἐὰν μὴ ἀποσταλῶσι; καθὼς γέγραπται. Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά. Ἀλλ' οὐ πάντες ὑπήκουσαν τῷ Εὐαγγελίῳ. Ἠσαΐας γὰρ λέγει· Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; Ἄρα ἡ πίστις ἐξ ἀκοῆς, ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ. Ἀλλὰ λέγω· μὴ οὐκ ἤκουσαν; Μενοῦν γε εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. Ἀλλὰ λέγω, μὴ οὐκ ἔγνω Ἰσραήλ; Πρῶτος Μωσῆς, λέγει. Ἐγὼ παραζηλώσω ὑμᾶς, ἐπ' οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς. Ἠσαΐας δὲ ἀποτολμᾷ καὶ λέγει· εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι. Πρὸς δὲ τὸν Ἰσραήλ, λέγει· Ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα. Λέγω οὖν· μὴ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ; μὴ γένοιτο!

www.tezaurliturgic.ro

καὶ γὰρ ἐγὼ Ἰσραηλίτης εἰμὶ ἐκ σπέρματος Ἀβραάμ, φυλῆς Βενιαμίν· οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ, ὃν προέγνω.

Εὐαγγέλιον. *Ἐκ τοῦ κατὰ Ματθαῖον.*

Τῷ καιρῷ ἐκείνῳ παράγων ὁ Ἰησοῦς, εἶδεν ἄνθρωπον καθήμενον ἐπὶ τὸ τελώνιον, Ματθαῖον λεγόμενον, καὶ λέγει αὐτῷ· «Ἀκολούθει μοι.» καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ. Καὶ ἐγένετο αὐτοῦ ἀνακειμένου ἐν τῇ οἰκίᾳ, καὶ πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ ἐλθόντες συνανέκειντο τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ. Καὶ ἰδόντες οἱ Φαρισαῖοι, εἶπον τοῖς μαθηταῖς αὐτοῦ· διατί μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει καὶ πίνει ὁ διδάσκαλος ὑμῶν; Ὁ δὲ Ἰησοῦς ἀκούσας εἶπεν αὐτοῖς. Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ᾽ οἱ κακῶς ἔχοντες· πορευθέντες δὲ μάθετε τί ἐστιν, «ἔλεον θέλω καὶ οὐ θυσίαν»· οὐ γὰρ ἦλθον καλέσαι δικαίους, ἀλλ᾽ ἁμαρτωλοὺς εἰς μετάνοιαν.

Κοινων. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ...

## Μεγαλυνάρια.

Αἱ γενεαὶ πᾶσαι, μακαρίζομέν Σε Ἀπόστολε Κυρίου.

Αἱ γενεαὶ πᾶσαι μεγαλύνομέν Σε, Ἀπόστολε Ματθαῖε.

Ἀπόστολε Ματθαῖε, τῶν ἀπορρήτων μύστα, ὕμνοις Σε εὐφημοῦμεν.

Ἀπόστολε Κυρίου, Ματθαῖε σαῖς πρεσβείαις, ῥῦσαι ἡμᾶς γεέννης.

Ἀπὸ τελώνου μάκαρ, Ἀπόστολος Κυρίου, γενέσθαι ἠξιώθης.



Ἀπὸ τοῦ τελωνίου εἰς μαθητείαν Λόγου, Ματθαῖε μετετέθης.

Γεραίρομεν σὴν μνήμην, οἱ φωτισθέντες λόγοις, τοῦ σοῦ Εὐαγγελίου.

Δοχὴν τῇ σῇ οἰκίᾳ, Χριστῷ τῷ διδασκάλῳ, ἐποίησας Ματθαῖε.

Εὐαγγελίου λάμψει, ἐδίωξας Ματθαῖε, ἀχλὺν πολυθείας.

Εὐαγγελίου λόγοις, ἐφώτισας τὸν κόσμον, Ματθαῖε θεηγόρε.

Ἐν ὥρᾳ ὦ Ματθαῖε, τῆς κρίσεως προστάτης, γενοῦ ἡμῖν σοῖς τέκνοις.

Ζυγὸν τοῦ τελωνίου καὶ τὸν χρυσὸν ἐμφρόνως, κατέλιπες Ματθαῖε.

Ζωγρεῖται σοῖς δικτύοις, Ματθαῖε θεοπλόκοις, πλήθη τῶν πιστευόντων.

Ἡ γλῶσσά σου Ματθαῖε, τοῦ Παρακλήτου ὤφθη, κάλαμος ὀξυγράφου.

Θεότευκτον Ματθαῖε, ὄργανον ἀνεδείχθης, τοῦ θείου Παρακλήτου.

Λαοὺς ἐρρύσω σκότους, φωτίσας τούτους μάκαρ, Εὐαγγελίου λόγοις.

Ματθαῖε θεηγόρε, Ἀπόστολε Κυρίου, φρούρει τούς σε τιμῶντας.

Ματθαῖε τοὺς τιμῶντας, σὴν ἑορτὴν ἐκ πόθου, σκέπε ταῖς σαῖς πρεσβείαις.

Πυρὸς ἐν εἴδει μάκαρ, τοῦ Πνεύματος ἐδέξω, τὴν χάριν, ὦ Ματθαῖε.

Πρῶτος ἀνεδείχθης, Εὐαγγελίου θείου, ὑφηγητὴς Ματθαῖε.

www.tezaurliturgic.ro

Πρὸς τὸν Θεὸν τυγχάνεις, θερμότατος προστάτης, καὶ πρεσβευτὴς τοῦ κόσμου.

Προσκυνοῦμεν πόθῳ, Ματθαῖε σὴν εἰκόνα, εἰς τύπον τῆς μορφῆς σου.

Σάλπιγξ θεολόγος, καὶ εὔηχος ἐδείχθης, σεπτοῦ Εὐαγγελίου.

Τοὺς τῷ ναῷ σου πόθῳ, ἀεὶ προσερχομένους, θεόπτα περιφρούρει.

Τῆς κρίσεως τὴν ὥραν, καθυπογράψας μάκαρ, ῥαθύμους διεγείρεις.

Τὴν σάρκωσιν τὰ πάθη, ἀνάστασιν Κυρίου, ἡμῖν εὐηγγελίσω.

Τὸν σὸν ναὸν πλουτοῦμεν, σοφώτατε Ματθαῖε, ψυχῶν ὡς ἰατρεῖον.

Φωστὴρ ἀπὸ τελώνου, τοῦ κόσμου ἀνεδείχθης, καὶ μαθητὴς Κυρίου.

Χριστὸν κατηξιώθης φιλοξενῆσαι μάκαρ, Ματθαῖε σῇ οἰκίᾳ.

Χριστῷ καθυπετάγης, παράγοντι Ματθαῖε, καὶ σὲ προσκεκληκότι.

Ὡραῖοί σου οἱ πόδες, εὐαγγελιζομένου, τοῖς πέρασιν εἰρήνην.

Ὦ Ματθαῖε μάκαρ, τὴν πόλιν ταύτην σκέπε, ἐκ πάσης ἐπηρείας.

Δόξα.

Πάτερ, Λόγε, Πνεῦμα, σῶσον ἡμᾶς πρεσβείαις, Ματθαίου τοῦ πανσόφου.

Καὶ νῦν.

Ἀμόλυντε Παρθένε, μετὰ τοῦ Ἀποστόλου, δυσώπει τὸν Υἱόν σου.



## Ἕτερα Μεγαλυνάρια.

Πρὸς τό, Τὴν Ὑψηλοτέραν.

Ἱερῶν λογίων ἱερουργέ, θείων μυστηρίων οὐρανίων μυσταγωγέ· Χαίροις ὁ τῷ φθόγγῳ τῷ εὐαγγελικῷ σου, Ματθαῖε περιέχων κόσμου τὰ πέρατα.

Τὴν εὔηχον σάλπιγγα τοῦ Χριστοῦ, Ματθαῖον τὸν θεῖον εὐφημήσωμεν οἱ πιστοί, τὸν εὐαγγελίσαντα πάσῃ τῇ οἰκουμένῃ τὴν σάρκωσιν τοῦ Λόγου καὶ τὴν ἀνάστασιν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## Μεγαλυνάρια

Εἰς τὴν ἑορτὴν τῆς Ἁγίας Αἰκατερίνης.

Αἱ γενεαὶ πᾶσαι, μεγαλύνομέν σε, Αἰκατερίνα μάρτυς.

Αἱ γενεαὶ πᾶσαι, σὲ μακαριοῦμεν, σοφὴ Αἰκατερίνα.

Ἄγγελος οὐρανόθεν, κατῆλθεν ἐνισχύων, σὲ μάρτυς ἐν σταδίῳ.

Δῆμος φιλομαρτύρων, ἀθροίσθητε ὑμνῆσαι, τὴν νύμφην τοῦ Κυρίου.

Εὐφραίνεται πλουτοῦσα, τὰ σπάργανά σου μάρτυς, Ἀλεξανδρέων πόλις.

Εἱρκτὴν παρθενομάρτυς, καὶ αἰκισμοὺς ὑπέστης, ὑπὲρ τοῦ σοῦ νυμφίου.

Ἐξέστησαν Ἀγγέλους, ἆθλά σου τὰ γενναῖα, Αἰκατερίνα Μάρτυς.

Ἐν ὄρει τῷ Σιναίῳ, Χριστὸς Αἰκατερίνα, φυλάττει τὸ σὸν σκῆνος.

www.tezaurliturgic.ro



Ἐκ βλάβης καὶ κινδύνων, σκέπε Αἰκατερίνα, τοὺς πανηγυριστάς σου.

Ἡ Οἰκουμένη πόθῳ, τελεῖ Αἰκατερίνα, τὴν μνήμην σου τὴν θείαν.

Θωπεῖαι Μαξεντίου, οὐκ ἴσχυσάν σου κάμψαι, ψυχὴν γενναίαν μάρτυς.

Νύμφη Χριστοῦ ὡραία, Χαίροις Αἰκατερίνα, τὸ κλέος τῶν παρθένων.

Ὀφρύν τε καὶ τὸ θράσος, σοφὴ τοῦ Μαξεντίου, κατέβαλες γενναίως.

Ῥητόρων τὰς φληνάφους, ῥήσεις καθεῖλες Μάρτυς, δυνάμει τῶν σῶν λόγων.

Τῶν εὐσεβῶν τὰ στίφη, τιμᾷ Αἰκατερίνα, τὴν θείαν ἄθλησίν σου.

Τροφὴν ὁ σὸς νυμφίος, ἐν τῇ εἱρκτῇ σοὶ πέμπει, πάνσοφε οὐρανόθεν.

Τροφὴν Αἰκατερίνα, δέχεται οὐρανόθεν, θέαμα ξένον ὄντως!

Τὰ τῶν Ἀγγέλων στίφη, δέχεται τῆς πανσόφου, μάρτυρος νῦν τὸ πνεῦμα.

Τάγματα τῶν Ἀγγέλων, ὁρῶντα ἐν σταδίῳ, Σὲ μάρτυς ἐξεπλάγη.

Τοὺς τὴν σεπτήν σου μνήμην, τελοῦντας μετὰ πόθου, Αἰκατερίνα φρούρει.

Τοῖς σὲ ὑμνοῦσι λύσιν, πταισμάτων ταῖς λιταῖς σου, Αἰκατερίνα δίδου.

Τοὺς ἐν Σιναίῳ ὄρει, σοφὴ Αἰκατερίνα, μονάζοντας νῦν σκέπε.

Ὑπὲρ τῶν σὲ τιμώντων, ἀεὶ τὸν σὸν νυμφίον, πανένδοξε δυσώπει.



Ψυχὰς τὰς τῶν ῥητόρων, τῷ σῷ νυμφίῳ δῶρα, Αἰκατερίνα πέμπεις.

Ὠμότητα τυράννου, καὶ ἀπειλὰς, ὦ Μάρτυς, οὐδόλως ἐπτοήθης.

Ὢ θαύματος μεγίστου! πῶς τὴν τροφὴν λαμβάνει, ἐξ οὐρανοῦ ἡ μάρτυς.

Δόξα

Ὦ Τρίφωτε Θεέ μου, λιταῖς Αἰκατερίνης, ἐλέησον τὸν κόσμον.

Καὶ νῦν.

Ἀμόλυντε Παρθένε, σὺν τῇ Αἰκατερίνῃ, τὸν σὸν Υἱὸν δυσώπει.

Ἕτερον Μεγαλυνάριον.

Ἔχει τὸ σὸν πνεῦμα ὁ οὐρανός, σῶμα δὲ τὸ θεῖον τεθησαύρισται ἐν Σινᾷ, αἷμα μαρτυρίου ἐν Ἀλεξάνδρου πόλει, σοφὴ Αἰκατερίνα, σκέπε τοὺς δούλους σου.

## Μεγαλυνάρια

### Εἰς τὴν ἑορτὴν τῆς ἁγίας ὁσιοπαρθενομάρτυρος Παρασκευῆς.

Αἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, Χριστοῦ τὴν ἀθληφόρον.

Αἱ γενεαὶ πᾶσαι, σὲ μακαριοῦμεν, Ὁσιομάρτυς κόρη.

Ἀθληφόρε μάρτυς, Παρασκευὴ λιταῖς σου, ῥῦσαι ἡμᾶς κινδύνων.

Ἀθληφόρε κόρη, Παρασκευὴ σὲ πόθῳ, ὑμνοῦμεν καὶ τιμῶμεν.

Ἀντωνίου θράσος, κατέβαλες παρθένε, τῇ σῇ στερρᾷ ἐνστάσει.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΕΑ ΑΝΑΣΤΑΣΙΟΥ Γ. ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



Διπλοῦν ἐδέξω στέφος, ἀσκήσεως ὁμοῦ τε, ἀθλήσεως συνάμα.

Δεσμοὺς τοὺς τῆς σαρκός σου, ὑπέμεινας καὶ πόνους, Παρασκευὴ ἀνδρείως.

Ἐκήρυξας σταδίῳ, Χριστὸν ἐν παρρησίᾳ, Θεὸν σωματωθέντα.

Ἐν ταῖς αὐλαῖς Κυρίου, Παρθένοις συγχορεύεις, ἐκείναις ταῖς φρονίμοις.

Θαλάμων οὐρανίων, Παρθένε ἠξιώθης, ὡς μάρτυς καὶ ὁσία.

Κάλαμον καὶ σπόγγον, στέφανον σταυρόν τε, σημεῖα ἐθεάσω.

Μαρτύρων καὶ Ὁσίων, ὁμόσκηνος ὡς οὖσα, ὑπὲρ ἡμῶν δυσώπει.

Μνήσθητι τῶν πόθῳ, σὴν ἑορτὴν τελούντων, Παρασκευὴ θεόφρον.

Ὁσιομάρτυς κόρη, Παρασκευὴ δυσώπει, ὑπὲρ ἡμῶν τὸν Πλάστην.

Παρασκευὴ τὸ κλέος, Μαρτύρων καὶ Ὁσίων, ῥῦσαι ἡμᾶς γεένης.

Παρασκευὴ ἡ δόξα, παρθένων καὶ μαρτύρων, σκέπε ἡμᾶς λιταῖς σου.

Παρθένε καὶ Ὁσία, καὶ μάρτυς τοῦ Κυρίου, φρούρει τοὺς σὲ τιμῶντας.

Πλάκα βαρυτάτην, τοῖς στέρνοις σου τεθεῖσαν, ὑπήνεγκας γενναίως.

Σίδηρον καυθέντα, ὑπέμεινας ἀνδρείως, σῇ κεφαλῇ τεθέντα.

Σπαργάνων ἐκ μητρῴων, Θεῷ προσανετέθης, Παρασκευὴ θεόφρον.



Τὰς ἀλγηδόνας μάρτυς, καὶ βράσματα λεβήτων, ἀνδρείως ἐκαρτέρεις.

Τὴν χάριν ἐκομίσω, Παρασκευὴ ἰᾶσθαι, νοσήματα παντοῖα.

Τὰς μάστιγας καὶ πόνους, ὑπέφερες γενναίως, ὑπὲρ Χριστοῦ ἀγάπης.

Τὸν σὸν ναὸν πλουτοῦμεν, ὡς μέγα ἰατρεῖον, ποικίλων νοσημάτων.

Τοὺς τῷ ναῷ σου πόθῳ, προσερχομένους σκέπε, ἐκ θλίψεων καὶ νόσων.

Τὴν σὴν εἰκόνα πάντες, μάρτυς προσκυνοῦμεν, Παρασκευὴ ἐκ πόθου.

Τὴν πόλιν ταύτην σκέπε, Παρασκευὴ ἐκ πάντων, κακῶν καὶ νοσημάτων.

Ὑπέστης φλεγομένη, Παρασκευὴ βασάνους, ὑπὲρ Χριστοῦ ἀγάπης.

Χαίροις Παρθενομάρτυς, Παρασκευὴ Ὁσία, καὶ νύμφη τοῦ Κυρίου.

Ὡς παῤῥησίαν σχοῦσα, πρὸς τὸν Χριστὸν ἀπαύστως, πρέσβευε ὑπὲρ πάντων.

Δόξα.

Ὦ Τρίφωτε Θεέ μου, σῶσον ἡμᾶς πρεσβείαις, τῆς θείας ἀθληφόρου.

Καὶ νῦν.

Ἀμόλυντε Παρθένε, μετὰ τῆς ἀθληφόρου, τὸν σὸν Υἱὸν δυσώπει.

Ἕτερον Μεγαλυνάριον.

Τὴν λαμπάδα πάντες τὴν φαεινήν, καὶ τῆς παρθενίας τὸν ἀσύλητον θησαυρόν, τὴν νύμφην Κυρίου καὶ ἄσπιλον ἀμνάδα, Παρασκευὴν τὴν θείαν ὕμνοις τιμήσωμεν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



# Μεγαλυνάρια

## Εἰς τὴν ἑορτὴν τοῦ ἁγίου Χαραλάμπους.

Αἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, Χριστοῦ Ἱερομάρτυς.

Αἱ γενεαὶ πᾶσαι, σὲ μακαριοῦμεν, Ἱερομάρτυς Θεῖε.

Ἆρον σου τὰς χεῖρας πρὸς τὸν Θεὸν θεόφρον, ὑπὲρ ἡμῶν πρεσβεύων.

Ἀνέστησας θανόντας, θείᾳ ἐντεύξει μάρτυς, Χαράλαμπες πολύτλα.

Γενναίως ἐκαρτέρεις, τυπτόμενος πολύτλα, συρόμενος πλατείαις.

Δουκὸς τὰς χεῖρας μάρτυς, Χαράλαμπες ἰάσω, σαρκί σου κρεμασθείσας.

Δημίους καὶ γυναῖκας, προσήγαγες τῷ Κτίστῃ, μάρτυρας στεφηφόρους.

Ἔλυσας εἰδώλων, σκοτόμαιναν πολύτλα, διὰ τοῦ μαρτυρίου.

Ἔθυσας θυσίαν, αἰνέσεως Κυρίῳ, ὡς ἱερεὺς τυγχάνων.

Ἡ Ἐκκλησία μάκαρ, ἐκτήσατό σε κόσμον, βασίλειον καθάπερ.

Ἥλοις προσηλώθη, τὸ καρτερόν σου σῶμα, καὶ δρόμοις κατεξάνθη.

Ἱερομάρτυς θεῖε, Χαράλαμπες λιταῖς σου, λοιμοῦ ἡμᾶς συντήρει.

Κατῄσχυνας Σεβῆρον, τὸν ἄθεον καὶ ἄνουν, τοῖς θαυμαστοῖς σου ἔργοις.

Λίθων τὰς νιφάδας, λαμπάδων τε ἐκκαύσεις, γενναίως ἐκαρτέρεις.

Μετέβαλες τὸ ξύλον, εἰς δένδρον καρποφόρον, ὢ θαύματος μεγίστου!



Ὅπου ἐπικαλεῖται, τὸ ὄνομά σου μάκαρ, πανώλης φυγαδεύει.

Πορφύριος καὶ Βάπτος, σὺν γυναιξὶ προσῆλθον, διὰ σοῦ τῷ Σωτῆρι.

Προσκυνοῦμεν πόθῳ, τὴν σὴν εἰκόνα μάρτυς, Χαράλαμπες τὴν θείαν.

Παντοίων νοσημάτων, καὶ συμφορῶν λιταῖς σου, ἀπάλλαξον σοὺς δούλους.

Προσήγαγες Κυρίῳ, Γαλήνην βασιλίδα, μάρτυρα ἐστεμμένην.

Σοὶ ἐξεχύθη χάρις, τοῦ θεραπεύειν μάκαρ, πανώλους τε τὴν νόσον.

Σαῖς προσευχαῖς πανώλους, ῥῦσαι ἡμᾶς πολύτλα, Χαράλαμπες τῆς νόσου.

Σεβῆρον τε καὶ Κρίσπον, Χαράλαμπες καθεῖλες, καὶ ᾔσχυνας τοῖς λόγοις.

Τὰς ξέσεις τῆς σαρκός σου, Χαράλαμπες ὑπέστης, διὰ Χριστὸν ἀνδρείως.

Τυφλοὺς χωλοὺς καὶ ἄλλους, παντοίως ἀσθενοῦντας ἰάτρευσας πολύτλα.

Τὴν κάραν προσκυνοῦμεν, τὴν σὴν Ἱερομάρτυς, Χαράλαμπες ἐκ πόθου.

Τοὺς τῷ ναῷ σου τούτῳ, προσερχομένους μάρτυς, λύτρωσαι τῆς πανώλους.

Τὸν σὸν ναὸν πλουτοῦμεν, πανώλους ἐλατῆρα, Χαράλαμπες πολύτλα.

Χαράλαμπες γενναῖε, τοὺς σὲ τιμῶντας ῥῦσαι, λοιμοῦ τοῦ ὀξυτάτου.

Χαράλαμπες πολύτλα, Ἱερομάρτυς Θεῖε, ῥῦσαι ἡμᾶς κινδύνων.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ

www.tezaurliturgic.ro



Ὦ Ἱερεὺς καὶ μάρτυς, διπλοῦν ἐδέξω στέφος, ἐκ τῆς χειρὸς Ὑψίστου.

Ὡς ἔχων παρρησίαν, ἱκέτευε ἀπαύστως, ὑπὲρ ἡμῶν τὸ θεῖον.

Ὦ Ἱερεῦ καὶ μάρτυς, Χαράλαμπες λιταῖς σου, ῥῦσαι ἡμᾶς πανώλους.

Ὦ ἀθλητὰ καὶ θύτα, τὴν πόλιν ταύτην σκέπε, πανώλους ὀλεθρίας.

Δόξα

Θεέ μου Πανοικτίρμον, πρεσβείαις Χαραλάμπους, σκέπε ἡμᾶς καὶ σῶσον.

Καὶ νῦν

Ἀμόλυντε Παρθένε, μετὰ τοῦ Χαραλάμπους, ὑπὲρ ἡμῶν δυσώπει.

## Ἕτερον Μεγαλυνάριον

Φύλαττε καὶ σκέπε ταῖς σαῖς λιταῖς, Χαράλαμπες μάρτυς ὡς τὴν χάριν ταύτην λαβών, ἡμᾶς ἐκ παντοίων νόσων καὶ κινδύνων, καὶ λοιμικοῦ θανάτου ἡμᾶς ἐξάρπασον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro

## ΟΙ ΑΓΙΟΙ ΤΕΣΣΑΡΕΣ ΙΕΡΑΡΧΑΙ ΚΡΗΤΗΣ.




Ἐσχεδ. ὑπὸ Α. Β.

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΩΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΩΝ ΗΜΩΝ
## ΤΙΤΟΥ, ΚΥΡΙΛΛΟΥ, ΕΥΜΕΝΙΟΥ καὶ ΑΝΔΡΕΟΥ
### ΑΡΧΙΕΠΙΣΚΟΠΩΝ ΚΡΗΤΗΣ ΤΩΝ ΘΑΥΜΑΤΟΥΡΓΩΝ.

*ψαλλομένη τὴν 25 Αὐγούστου.* (1)

---

Ἑσπέρας, ἐν τῷ μεγάλῳ ἑσπερινῷ, στιχολογοῦμεν τὸ «Μακάριος ἀνήρ». Εἰς δὲ τὸ «Κύριε ἐκέκραξα», ἱστῶμεν στίχ. ς'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

*Ἦχος δ'.* Ἔδωκας σημείωσιν.

Κρήτης ἐξορμώμενος, καὶ ἐν αὐτῇ ἀφικόμενος, ἀρραγὴς ὡς θεμέλιος, ἐν ᾗ ἐστερέωτο ὀρθοτάτῃ πίστει, τῇ οἰκοδομίᾳ ἐπῳκοδόμησε πιστούς, τῆς οὐρανίου θείας δυνάμεως, ὁ Τῖτος ὁ μακάριος, ὁ ἐν τῇ Κρήτῃ πρωτόθρονος, καὶ τοῦ Παύλου συνέκδημος, τῶν πιστῶν ἡ παράκλησις.

Θείαις ἀναλάμψεσι, καταυγασθεὶς τὴν διάνοιαν, ὡς ἀκτὶς συμπεπόρευσαι, ἡλίῳ φωτίζοντι, τὰ ἐσκοτισμένα, Παύλῳ, Θεῖε Τῖτε, καὶ σὺν αὐτῷ πᾶσαν τὴν γῆν, τῆς βαθυτάτης νυκτὸς ἀπήλλαξας· διό σε μακαρίζομεν ὡς Ἱεράρχην θεόληπτον, ὡς Ἀπόστολον ἔνθεον, πρεσβευτὴν ὡς θερμότατον.

(1) Ἡ αὐτὴ Ἀκολουθία δύναται νὰ ψάλλεται καὶ εἰς τὴν ἰδιαιτέραν ἑκάστου Ἱεράρχου Ἑορτήν.

www.tezaurliturgic.ro

Μίαν τρισυπόστατον ἀνακηρύττων Θεότητα, τὴν πολύθεον θάλασσαν, Ἐθνῶν διετάραξας, καὶ γαληνοτάτους,μάκαρ πρὸς λιμένας, τοὺς νηχομένους τῷ βυθῷ, τῆς ἀθείας σὺ ἐγκαθώρμισας· ἐντεῦθεν τὴν οὐράνιον ἀντιμισθίαν ἀπείληφας, δυσωπῶν τὸν φιλάνθρωπον, ὑπὲρ τῶν ἀνυμνούντων σε.

Ὁ αὐτός. Ὡς γενναῖον ἐν μάρτυσι

Τῶν Κρητῶν ἐγκαλλώπισμα, τῆς Γορτύνης τὸν πρόεδρον, Ἐκκλησίας ἄσειστον τὸν θεμέλιον, τὸν Ἱεράρχην Εὐμένιον, ἐν θαύμασι μέγιστον, καὶ δυνάμεσι πολλαῖς, γεγονότα περίδοξον, καὶ φωτίσαντα, τὰς ἐν ζόφῳ καρδίας ὡς φωστῆρα, τῶν πιστῶν μεγαλοφώνως, οἱ συνελθόντες τιμήσωμεν.

Τὴν ψυχὴν καὶ τὸ σῶμά σου, τῶν παθῶν καθηράμενος, τοῦ ἁγίου Πνεύματος οἶκος γεγονας· καὶ Ἱερέων ἐν χρίσματι, σαυτὸν κατεκόσμησας, παραστάτης δεξιὸς, χρηματίσας, Ἀνδρέα τε, καὶ συνόμιλος, τῶν ἁγίων ἀγγέλων καὶ τῆς δόξης, τοῦ Κυρίου κληρονόμος, καὶ Κρήτης μέγας ὑπέρμαχος.

Εὐφραδείᾳ τῶν λόγων σου, Ἱερώτατε Κύριλλε, Ἐκκλησία ἅπασα ὡραΐζεται, καὶ εὐσεβῶς καλλωπίζεται, ὡραίοις ἐν κάλλεσι, καὶ τιμᾷ σου ἱερῶς τὴν ἁγίαν καὶ εὔσημον, μνήμην ἔνδοξε, ὀρθοδόξων τὸ κλέος, τῶν πατέρων, κορυφαῖε τῆς Γορτύνης, καὶ Κρήτης πάσης ὑπέρμαχε.

Δόξα. Ἦχος πλ. β'.

Τῆς ἐκλογῆς τοῦ σκεύους, Παύλου θεοκήρυκος, μιμητὴς γενόμενος, καὶ μυηθεὶς τὰ θεῖα παρ' αὐτοῦ διδάγματα, εἰς τὰ ἔθνη πρὸς πίστιν ἀπεστάλης, ἐπιστρέφειν καὶ φωτίζειν τῇ αἴγλῃ τῶν λόγων σου. Ὅθεν



εἰς τὰ πέρατα διέδραμες Τίτε Ἀπόστολε, εὐαγγελιζόμενος πᾶσι τὸν σαρκωθέντα Θεόν· ὃν καθικέτευε, τοῦ σωθῆναι τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀεισέβαστον μνήμην σου.

Καὶ νῦν. Τίς μὴ μακαρίσει σε.

Εἴσοδος τὸ, Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

*Παροιμιῶν τὸ Ἀνάγνωσμα.*

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ· μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν καὶ θνητός, ὃς εἶδε φρόνησιν· κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρόν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστίν· ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ· καὶ μακάριος ἄνθρωπος,ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξῃ· αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου· διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν, υἱοῖς ἀνθρώπων· ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν, ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ· οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν καὶ δόξαν· νοήσατε τοίνυν ἄκακοι πανουργίαν,οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ· καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθάν· ὅτι ἀλήθεια,μελετήσει ὁ λάρυγξμου,ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ· μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες· πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ

www.tezaurliturgic.ro

καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν· διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα*

Στόμα δικαίου ἀποστάξει σοφίαν, γλῶσσα δὲ ἀδίκου ἐξολεῖται· χείλη ἀνδρῶν σοφῶν ἐπίστανται χάριτας, στόμα δὲ ἀσεβῶν καταστραφήσεται· ζυγὸς δόλιος βδέλυγμα ἐνώπιον Κυρίου, στάθμιον δὲ δίκαιον, δεκτὸν αὐτῷ ἐστιν· οὗ ἐὰν εἰσέλθῃ ὕβρις, ἐκεῖ καὶ ἀτιμία· στόμα δὲ σοφῶν μελετᾷ σοφίαν, τελειότης εὐθέων ὁδηγήσει αὐτούς· οὐκ ὠφελήσουσιν ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ, δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου· ἀποθανὼν δίκαιος ἔλιπε μετάμελον, πρόχειρος δὲ γίνεται καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια· δικαιοσύνη ἀμώμου ὀρθοτομεῖ ὁδούς, ἀσεβείᾳ δὲ περιπίπτει ἄνομος· δικαιοσύνη ἀνδρῶν ὀρθῶν, ῥύεται αὐτούς, τῇ δὲ ἀσεβείᾳ ἑαυτῶν ἁλίσκονται παράνομοι. Τελευτήσαντος ἀνδρὸς δικαίου οὐκ ὄλλυται ἐλπίς, τὸ δὲ καύχημα τῶν ἀσεβῶν ὄλλυται· δίκαιος ἐκ θήρας δύνει, ἀντ' αὐτοῦ δὲ παραδίδοται ὁ ἀσεβής· ἐν στόματι παρανόμων παγὶς πολίταις, αἴσθησις δὲ δικαίων εὔοδος. Ἐν ἀγαθοῖς δικαίων κατώρθωται πόλις, καὶ ἐν ἀπωλείᾳ ἀσεβῶν ἀγαλλίαμα· ἐν εὐλογίᾳ εὐθέων ὑψωθήσεται πόλις, στόματι δὲ ἀσεβῶν κατασκαφήσεται· μυκτηρίζει πολίτας ἐνδεὴς φρενῶν, ἀνὴρ δὲ φρόνιμος ἡσυχίαν ἄγει.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται, πολιὰ δὲ ἐστι φρόνησις ἀνθρώπῳ, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος· εὐάρεστος Θεῷ γενόμενος



ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη· ἡρπάγη μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας, μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσαν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

**Εἰς τὴν Λιτήν.** *Ἦχος α'.*

Τῇ τῶν ᾀσμάτων τερπνότητι, τῶν διδασκάλων εὐφημήσωμεν τὴν παροῦσαν ἡμέραν, καὶ ἠχήσωμεν αὐτῶν τὰ ἀγωνίσματα· πρόκεινται γὰρ οὗτοι ἡμῖν εἰς εὐφημίαν οἱ Χριστοῦ ζηλωταί· καὶ γὰρ τὴν τῶν ἀθέων πλάνην ἐλέγξαντες, Τριάδα σέβειν ἡμᾶς ἐξεπαίδευσαν· καὶ πρεσβεύουσι τῷ Κυρίῳ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος β'.*

Τοὺς Ἱεράρχας τοῦ Χριστοῦ, ὑμνήσωμεν ἅπαντες· ὅτι τοὺς τῶν ἀθέων φληνάφους, πάντας κατήργησαν, καὶ τῆς ἁγίας Τριάδος τὸ κράτος, εἰς πάντα κόσμον, τρανῶς καταγγέλλουσιν, ἕνα Θεὸν ἐν τρισὶ προσώποις ἀμέριστον· ᾧ καὶ πρεσβεύουσιν ὑπὲρ ἡμῶν, τῶν ἐν πίστει τελούντων τὴν μνήμην αὐτῶν.

*Ἦχος πλ. β'.*

Τοὺς τῆς εὐσεβείας ἀληθεῖς κήρυκας, καὶ τῆς Ἐκκλησίας ὑπερφυεῖς ἀστέρας, ὕμνων ἐγκωμίοις τιμήσωμεν, Τίτον τὸν ἀοίδιμον, Ἀνδρέαν τὸν πάνσοφον, σὺν τῷ Κυρίλλῳ τε καὶ Εὐμενίῳ, μύστας τοῦ Σωτῆρος Χριστοῦ. Οὗτοι γὰρ τὸν τῆς ἀληθείας λόγον σπείραντες, ἐν ταῖς καρδίαις τῶν πιστῶν, πᾶσι καρποφορίαν διένειμαν, καὶ πρεσβεύουσι Χριστῷ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

www.tezaurliturgic.ro



Ἦχος πλ. δ'.

Ἱεραρχῶν τοὺς ἀκρέμονας, καὶ παμφαεῖς φωστῆρας τῆς νήσου Κρήτης, ἐν ὕμνοις τιμήσωμεν πιστοί, Τίτον τὸν ἀοίδιμον, Ἀνδρέαν τὸν σοφώτατον καὶ Κύριλλον σὺν τῷ Εὐμενίῳ· καὶ Χριστῷ ἐκβοήσωμεν χαρμονικῶς. Εὔσπλαγχνε Κύριε, παράσχου σοῖς ἱκέταις, ταῖς πρεσβείαις τῶν διδασκάλων, ἄφεσιν ἁμαρτιῶν καὶ τὸ μέγα ἔλεος.

Δόξα. ἦχος πλ. α'.

Ὅτε τῆς Ἐκκλησιας προΐστασθε διδάσκαλοι, τότε τῶν ἀθέων ἐφράττετε τὰ στόματα· πῶς γὰρ ἠδύναντο ὅλως ἀντοφθαλμῆσαι τῇ λαμπηδόνι τῶν θεοπνεύστων διδαγμάτων ὑμῶν; διὸ δεόμεθα Ἱεράρχαι Χριστοῦ, αὖθις τοὺς καθ' ἡμᾶς κακόφρονας ἐπιστομίσατε, ῥυόμενοι ἡμᾶς ἐκ τῶν σκανδάλων αὐτῶν, ἀξιύμνητοι Ἱεράρχαι μέγιστοι.

Καὶ νῦν. Μακαρίζομέν σε.

Ἀπόστιχα, ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Θείᾳ ἐμπνεύσει τοῦ Λόγου, διαδραμὼν γραφικῶς, πᾶσαν τὴν γῆν ὁ φθόγγος, τῶν δογμάτων σου Τίτε, ἐφώτισας τὸν κόσμον ἀνοίξας ἡμῖν, τῆς μετανοίας τὴν εἴσοδον, τὴν τῶν ἁπάντων φροντίδα ἀνατυπῶν, καὶ Χριστοῦ τὸ Εὐαγγέλιον.

Στίχ. Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην.

Τῷ βασιλεῖ τῶν αἰώνων, Πάτερ Ἀνδρέα σοφέ, νῦν παρεστὼς δυσώπει, ὑπὲρ τῶν ἱκετῶν σου, ῥυσθῆναι πάσης βλάβης καὶ πειρασμῶν, καὶ κινδύνων καὶ θλίψεων, καὶ νοσημάτων παντοίων καὶ πρὸς ζωὴν, τὴν ἀνέσπερον ὁδήγησον.



Στίχ. Καυχήσονται ὅσιοι ἐν δόξῃ.

Τὸ καθαρὸν τῆς ψυχῆς σου, καὶ ἀκηλίδωτον φῶς, ἡλιακὰς ἀκτῖνας, καταλάμπει τῷ κόσμῳ, δογμάτων εὐσεβείας Πάτερ σοφέ, Ἱεράρχα Εὐμένιε· καὶ τὴν ἀχλὺν ἐκδιώκει καὶ δᾳδουχεῖ, τὴν οἰκουμένην πρὸς εὐσέβειαν.

Δόξα. ἦχος πλ. δ'.

Ἄνθρωποι τοῦ Θεοῦ, καὶ πιστοὶ θεράποντες, λειτουργοὶ Κυρίου, ἄνδρες ἐπιθυμιῶν, σκεύη ἐκλογῆς, στῦλοι καὶ στηρίγματα τῆς Ἐκκλησίας, βασιλείας κληρονόμοι, μὴ παρασιωπᾶτε τοῦ βοᾷν ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Καὶ νῦν, Θεοτόκε σὺ εἶ ἡ ἄμπελος.

Ἀπολυτίκιον, ἦχος α'.

Τοὺς τετραρίθμους φωστῆρας τῆς τρισηλίου Θεότητος, καὶ τῆς Κρήτης ποιμένας καὶ κήρυκας τῆς πίστεως, Τίτον τὸν ἀοίδιμον, καὶ Ἀνδρέαν τὸν πάνσοφον, καὶ τῆς Γορτύνης τὸν πρόεδρον Κύριλλον, σὺν τῷ κλεινῷ Εὐμενίῳ τῷ τὴν Ῥώμην διδάξαντι· πάντες οἱ φιλέορτοι δεῦτε φαιδρῶς, συνελθόντες ὕμνοις τιμήσωμεν, καὶ γὰρ ἀκαταπαύστως, ὑπὲρ ἡμῶν Θεῷ πρεσβεύουσι.

Δόξα, Καὶ νῦν, Θεοτοκίον.

## Εἰς τὸν Ὄρθρον

### Καθίσματα.

Μετὰ τὴν α'. στιχ. ἦχος πλ. δ'. Τὴν σοφίαν καὶ λόγον.

Ὡς τοῦ σκεύους ὑπάρχων τῆς ἐκλογῆς, ἀπεικόνισμα θεῖον ὡς ἀληθῶς, τὰ θεῖα μυστήρια, ἐκδιδάσκεις τῷ Πνεύματι, καὶ φωτισθεὶς τῇ χάριτι, τῆς θείας ἐλλάμψεως, τὰς τῶν πιστῶν καρδίας, ἐνθέως κατηύγασας. Ὅθεν καὶ τῇ Κρήτῃ, νοητῶς καταλείψας, τὰ θεῖά σου δόγματα, κατεφώτισας ἅπαντας, Τίτε Ἱερώτατε· πρέ-



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



σβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα, ὁ αὐτός.

Ὥσπερ ἄστρον ἡλίῳ συμπορευθεὶς, πανἀοίδιμε Τίτε, Παύλῳ σαφῶς, τὴν γῆν ἐφωτίσατε, καὶ τὸ σκότος ἐλύσατε· ἐν Κρητῶν δὲ νήσῳ, εἰσδὺς ὦ μακάριε, διὰ θανάτου πᾶσιν ἀδύτους κατέλιπες, θείας ὡς ἀκτῖνας, τοὺς σοὺς πόνους καὶ λόγους· ὑφ' ὧν ἐλλαμπόμενοι, εὐσεβῶς σὲ γεραίρομεν, καὶ συμφώνως βοῶμέν σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν, Θεοτοκίον.

Χαριστήριον αἶνον χρεωστικῶς, ὡς ἡ χήρα ἐκείνη δύο λεπτὰ, προσφέρω σοι Δέσποινα, ὑπὲρ πασῶν τῶν χαρίτων σου· σὺ γὰρ ὤφθης σκέπη ὁμοῦ καὶ βοήθεια, πειρασμῶν καὶ θλίψεων, ἀεί με ἐξαίρουσα. Ὅθεν ὡς ἐκ μέσου φλογιζούσης καμίνου, ῥυσθεὶς τῶν θλιβόντων με, ἐκ καρδίας κραυγάζω σοι· Θεοτόκε βοήθει μοι, πρεσβεύουσα τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι· σὲ γὰρ ἔχω ἐλπίδα, ὁ ἀνάξιος δοῦλός σου.

Μετὰ τὴν β'. στιχολογίαν.

ἦχος πλ. δ'. Τὴν σοφίαν καὶ λόγον.

Λαμπρυνθεὶς τὴν καρδίαν θείῳ φωτὶ, ἐξηρεύξω δογμάτων φωτοειδῆ, μακάριε λόγια, καὶ τὸν κόσμον ἐφώτισας· γεγονὼς δὲ θεῖον τοῦ Πνεύματος ὄργανον, ἡδυτάτοις φθόγγοις ἡδύνεις ἑκάστοτε, πάντων τὰς καρδίας, ἀνυμνῶν τὴν Τριάδα, ἁγίων τὰ τάγματα, καὶ Παρθένον τὴν ἄχραντον, Ἀνδρέα πανεύφημε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.



Δόξα. ἦχος δ'. Ἐπεφάνης σήμερον.

Εὐσεβείας πρόμαχος, σὺ ἀνεδείχθης, καὶ τῆς Κρήτης γέγονας, περιφανέστατος λαμπτὴρ, Ἀνδρέα πάτερ σεβάσμιε· ὅθεν ἀπαύστως, τιμῶμεν τὴν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Ἐπελεύσει Πνεύματος, τοῦ παναγίου, τοῦ Πατρὸς τὸν σύνθρονον καὶ ὁμοούσιον φωνῇ, Ἁγνὴ ἀγγέλου συνέλαβες, Θεοκυῆτορ Ἀδὰμ ἡ ἀνάκλησις.

Μετὰ τὸν πολυέλεον.

ἦχος δ'. Ταχὺ προκατάλαβε.

Φαιδρύνας τὸν βίον σου, τῶν ἀρετῶν καλλοναῖς, ποιμὴν ἀνηγόρευσαι, καὶ ἱεράρχης σεπτὸς, Θεόσοφε Κύριλλε· αἵματι δὲ μαρτύρων, σεαυτὸν ὡραΐσας, ἄνω πρὸς τὰς ἀΰλους, μετετέθης χορείας, μεθ' ὧν ὑπὲρ ἡμῶν τὸν Χριστὸν, Πάτερ ἱκέτευε.

Δόξα. ἦχος πλ. α'. Τὸν συνάναρχον λόγον.

Ὀρθοδόξοις ἐμπρέπων, πάτερ διδάγμασι, τὰς ζοφώδεις αἱρέσεις, πάσας ἐμείωσας, καὶ θαυμάτων αὐτουργὸς δειχθεὶς Εὐμένιε, περιβόητος παντὶ, προμηθείᾳ θεϊκῇ ἐγένου, ὅθεν σε πίστει, τιμῶμεν ὡς Ἱεράρχην, καὶ τῶν ἀγγέλων ὁμότιμον.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ θερμὴ προστασία, καὶ ἀπροσμάχητος, ἡ ἐλπὶς ἡ βεβαία, καὶ ἀκαταίσχυντος, τεῖχος καὶ σκέπη καὶ λιμὴν τῶν προστρεχόντων σοι, ἀειπάρθενε Ἁγνὴ, τὸν υἱόν σου καὶ Θεὸν, ἱκέτευε σὺν ἀγγέλοις, εἰρήνην δοῦναι τῷ κόσμῳ, καὶ σωτηρίαν καὶ μέγα ἔλεος.

Οἱ ἀναβαθμοί. Προκείμενον.

Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται.

Στίχ. Τὸ Στόμα μου λαλήσει σοφίαν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

www.tezaurliturgic.ro



*Εὐαγγέλιον.* Ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος. Ἐγὼ εἰμὶ ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται . . . *Ζήτει ἔμπροσθεν*

Μετὰ τὸν Ν'. *Δόξα.* Ταῖς τῶν διδασκάλων . . .

*Καὶ νῦν.* Ταῖς τῆς Θεοτόκου . . .

*Στίχ.* Ἐλέησόν με ὁ Θεός. *ἦχος πλ. β'.*

Ἐξεχύθη ἡ χάρις ἐν χείλεσιν ὑμῶν, ὅσιοι πατέρες, καὶ γεγόνατε ποιμένες, τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, διδάσκοντες τὰ λογικὰ πρόβατα, πιστεύειν εἰς Τριάδα ὁμοούσιον, ἐν μιᾷ Θεότητι.

Εἶτα. Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

Ὁ Παρακλητικὸς κανὼν τῆς Θεοτόκου καὶ τῶν Ἁγίων Πάντων.

Ἀφ' ἕκτης ᾠδῆς. Κοντάκιον.

*ἦχος δ'.* Ἐπεφάνης σήμερον.

Ἱεράρχαι μέγιστοι τῆς εὐσεβείας, καὶ γενναῖοι πρόμαχοι, τῆς ἀληθείας ἐν Χριστῷ, πάντας φρουρεῖτε τοὺς μέλποντας· σῶσον οἰκτίρμον, τοὺς πίστει τιμῶντάς σε.

Ὁ οἶκος.

Ἀκαταλήπτῳ σου χειρί, καὶ σθένει ἀπορρήτῳ, τὴν σὴν νῦν Ἐκκλησίαν οὐρανώσας οἰκτίρμον, ἔδειξας ὄντως φαεινοὺς τοὺς τέσσαρας φωστῆρας, μεγίστους τε καὶ τερπνούς, τὸν κόσμον καταυγάζοντας, σὺν Τίτῳ, Ἀνδρέᾳ τε τῷ πανσόφῳ, Κύριλλον καὶ Εὐμένιον· ταῖς αὐτῶν οὖν ἱκεσίαις, αἱρέσεων ἐξάρας τὴν νύκτα, πᾶσαν ἀχλὺν διάλυσον Σῶτερ, καὶ φωτὶ τῷ φρικτῷ τῶν πιστῶν τὰ πλήθη καταύγασον, πρὸς τὸ κράζειν καὶ βοᾶν σοι· Σῶσον οἰκτίρμον τοὺς πίστει τιμῶντάς σε.



## Τῇ 25 Αὐγούστου μνήμην ἐπιτελοῦμεν τοῦ ἁγίου ἐνδόξου Ἀποστόλου Τίτου, Ἐπισκόπου Γορτύνης τῆς κατὰ Κρήτην.

«Ἴτω παρ' ἡμῖν καὶ Τίτῳ βραχὺς τίτλος,
»Τούτου τελευτὴν τὴν ἐν εἰρήνῃ φέρων.»

Οὗτος ὁ μακάριος Τῖτος κατήγετο ἀπὸ τὸ γένος τοῦ Μίνωος τοῦ βασιλέως τῆς Κρήτης, καθὼς λέγει Ζηνᾶς ὁ νομικός, ὁ συγγράψας τὸν βίον τοῦ Ἀποστόλου τούτου, τὸν ὁποῖον Ζηνᾶν ἀναφέρει καὶ ὁ Ἀπόστολος Παῦλος ἐν τῇ πρὸς Τῖτον ἐπιστολῇ λέγων, «Ζηνᾶν τὸν νομικὸν σπουδαίως πρόπεμψον» (Τιτ. γ'. 13). Οὗτος λοιπὸν ὁ θεσπέσιος Τῖτος εἰς τὴν ἀρχὴν τῆς ζωῆς του ἔδειξε πολλὴν σπουδὴν καὶ ἐπιμέλειαν εἰς τὴν παιδείαν καὶ μάθησιν τὴν παρὰ τῶν Ἑλλήνων θαυμαζομένην. Ὅταν δὲ ἔγεινε ἐτῶν εἴκοσιν, ἤκουσεν ἄνωθεν μίαν θεϊκὴν φωνήν, ἡ ὁποῖα τοῦ ἔλεγε ταῦτα· «Τῖτε, πρέπει νὰ ἀναχωρήσῃς ἀπ' ἐδῶ, διὰ νὰ σώσῃς τὴν ψυχήν σου, ἐπειδὴ ἡ ἐξωτερικὴ παιδεία αὕτη δὲν θέλει σὲ ὠφελήσει.» Θέλων δὲ νὰ ἀκούσῃ καὶ δεύτερον τὴν ἰδίαν φωνήν, διὰ νὰ πληροφορηθῇ περισσότερον καὶ νὰ μὴ πλανηθῇ (διότι ἤξευρε τὰς πλάνας ὁποῦ ἐγίνοντο ἀπὸ τὰς φωνὰς τῶν εἰδώλων καὶ τῶν δαιμόνων), ἔμεινεν ἀκόμη 9 χρόνους εἰς τὴν τῶν γραμμάτων παιδείαν. Τότε δὲ ἐπροστάχθη διὰ θεϊκοῦ ὁράματος νὰ ἀναγνώσῃ τὴν βίβλον τῶν Ἑβραίων. Ὅθεν λαβὼν ὁ Τῖτος τὴν παλαιὰν Γραφὴν ἤνοιξεν αὐτήν, καὶ εὑρίσκει τὸ ῥητὸν τοῦ προφήτου Ἡσαΐου τὸ λέγον. «Ἐγκαινίζεσθε πρός με νῆσοι πολλαί· Ἰσραὴλ σώζεται παρὰ Κυρίου σωτηρίαν αἰώνιον» (Ἡσαΐας μέ. 16).

Ὁ δὲ ἀνθύπατος καὶ ἡγεμὼν τῆς Κρήτης, ὅστις ἦτο θεῖος τοῦ ἁγίου Τίτου, ἀκούσας τὴν σωτήριον γέννησιν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑ...

www.tezaurliturgic.ro

τοῦ Χριστοῦ καὶ τὰ θαύματα, ὅπου ἔκαμνεν εἰς τὰ Ἱεροσόλυμα, καὶ εἰς ἄλλους τόπους τῆς Παλαιστίνης, ἐσυμβουλεύθη μὲ τοὺς πρώτους ἄρχοντας τῆς Κρήτης, καὶ οὕτως ἀπέστειλε τοῦτον τὸν ἀνεψιόν του Τῖτον εἰς τὰ Ἱεροσόλυμα, ὡς ὄντα ἱκανὸν νὰ ἀκούσῃ καὶ νὰ παραστήσῃ διὰ λόγου ἐκεῖνα, ὁποῦ ἤθελεν ἀκούσει. Ὁ Τῖτος λοιπὸν ἀπελθὼν εἰς Ἱεροσόλυμα, ἐπροσκύνησε τὸν δεσπότην Χριστόν, καὶ ἐθεώρησε τὰ θαυμάσιά του· εἶδε δὲ καὶ τὰ σωτήρια τούτου πάθη, τὴν ταφὴν καὶ τὴν ἀνάστασιν καὶ τὴν θείαν ἀνάληψιν, καὶ τὴν εἰς τοὺς Ἀποστόλους ἐπιδημίαν καὶ ἔλευσιν τοῦ ἁγίου Πνεύματος. Ὅθεν πιστεύσας τῷ Χριστῷ συνηριθμήθη καὶ αὐτὸς μὲ τοὺς ἑκατὸν εἴκοσιν, ὁποῦ ἔλαβον τὸ Πνεῦμα τὸ ἅγιον κατὰ τὴν ἡμέραν τῆς Πεντηκοστῆς. Ἔπειτα χειροτονεῖται καὶ ἀποστέλλεται μετὰ τοῦ Παύλου διὰ νὰ κηρύττῃ τὸ Εὐαγγέλιον. Ἐπῆγε λοιπὸν ὁ θεῖος Τῖτος μετὰ τοῦ Παύλου εἰς Ἀντιόχειαν καὶ εἰς Σελεύκειαν καὶ εἰς Κύπρον καὶ εἰς Σαλαμῖνα καὶ Πάφον τὰς ἐν Κύπρῳ εὑρισκομένας. Ἀπὸ ἐκεῖ δὲ ἐπῆγεν εἰς τὴν Πέργην τῆς Παμφιλίας καὶ εἰς Ἀντιόχειαν τῆς Πισσιδείας, καὶ εἰς τὸ Ἰκόνιον ἐν τῷ οἴκῳ τοῦ ἁγίου Ὀνησιφόρου. Ἔπειτα ἐπῆγεν εἰς τὸν Λύστρον καὶ Δέρβην, καὶ ἐν γένει, εἰς κάθε πόλιν καὶ τόπον ἐκήρυττε τὸν λόγον τοῦ Θεοῦ ὁμοῦ μὲ τὸν Ἀπόστολον Παῦλον. Ὅταν δὲ ὁ εἰς τὴν ἀδελφὴν τοῦ ἁγίου Τίτου γαμβρὸς Ῥουστίλλος ὀνόματι, εἶχε δύο ἔτη ὁποῦ ἐξουσίαζε τὴν Κρήτην, τότε ἐπῆγεν εἰς τὴν αὐτὴν Κρήτην, ὁ Τῖτος ὁμοῦ μὲ τὸν Ἀπόστολον Παῦλον. Ἔπειτα ἀναχωρήσας ἀπὸ τὴν Κρήτην μετὰ τοῦ Παύλου, ἐπῆγεν εἰς τὴν Ἀσίαν καὶ ἐκεῖθεν μετὰ τοῦ Παύλου εἰς τὴν Ῥώμην, καὶ ἐκεῖ ἔμεινεν ὁ Τῖτος, ἕως ὅτου ἐφονεύθη ὁ Παῦλος ἀπὸ τὸν Νέρωνα.



Μετὰ δὲ τὸν μαρτυρικὸν θάνατον τοῦ Παύλου, ἐπέστρεψεν ὁ Τῖτος εἰς τὴν Κρήτην, καὶ ἐχειροτόνησεν εἰς αὐτὴν ἐπισκόπους καὶ πρεσβυτέρους, καὶ διαλάμψας εἰς αὐτήν, ἀνεπαύθη ἐν Κυρίῳ. Ὅλα δὲ τὰ ἔτη τῆς ζωῆς τοῦ θείου Τίτου ἔγειναν ἐννενήκοντα τέσσαρα· διότι ὅταν ἀπὸ τὴν Κρήτην ἐπῆγεν εἰς Ἱεροσόλυμα ἦτον 20 ἐτῶν· ἔμεινε δὲ εἰς τὰ Ἱεροσόλυμα μέχρι τῆς ἀναλήψεως τοῦ Κυρίου, ἤτοι ἓν ἔτος· μετὰ δὲ τὴν ἀνάληψιν διέτριψεν εἰς τὰ Ἱεροσόλυμα ἔτη δέκα· ἔπειτα ἐχειροτονήθη Ἐπίσκοπος ἀπὸ τοὺς κορυφαίους Ἀποστόλους, καὶ διεπέρασεν ἔτη δεκαοκτὼ εἰς τὸ κήρυγμα τοῦ Εὐαγγελίου· ἐκήρυξε δὲ εἰς μὲν τὰς νήσους ἔτη ἕξ, εἰς δὲ τὴν πατρίδα του Κρήτην ἔτη τριάκοντα ἐννέα. Ὅθεν ὅλα συναπτόμενα γίνονται ἔτη ἐννενήκοντα τέσσαρα.

## Τῇ 14 Ἰουνίου μνήμην ἐπιτελοῦμεν τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Κυρίλλου Ἱερομάρτυρος, Ἐπισκόπου Γορτύνης τῆς ἐν τῇ Κρήτῃ.

Εἰ καὶ γέρων Κύριλλος ἦν ὁ Γορτύνης,
Ἠβῶσαν εἶχε πρὸς ξίφος τὴν καρδίαν.

Οὗτος ὁ ἅγιος Κύριλλος διαπεράσας τὴν ζωήν του ὁσίως καὶ ἀσκητικῶς, ἐχειροτονήθη Ἐπίσκοπος τῆς ἐν τῇ Κρήτῃ Γορτύνης κατὰ τὸ ἑξηκοστὸν ὄγδοον ἔτος τῆς ζωῆς του. Ἀφοῦ δὲ ἐκυβέρνησε τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ ἔτη εἰκοσιπέντε, παρεστάθη εἰς τὸν ἡγεμόνα Ἀγριανὸν κατὰ τοὺς χρόνους Διοκλειτιανοῦ καὶ Μαξιμιανοῦ ἐν ἔτει 299. Ὅθεν ἐπειδὴ ἐκήρυττε παρρησίᾳ τὸν Χριστὸν Θεὸν ἀληθινόν, διὰ τοῦτο ἐδέθη καὶ ἐρρίφθη μέσα εἰς πυρκαϊάν· ἀλλὰ τὰ μὲν δεσμὰ ἐκάησαν,

www.tezaurliturgic.ro



καὶ τὰ ξύλα ὅλα τῆς πυρκαϊᾶς ἔγειναν στάκτη, ὁ δὲ ἅγιος ἔμεινεν ἄφλεκτος. Διὰ τοῦτο, τότε μὲν ἀφέθη ἐλεύθερος, ὕστερον δὲ ἐπειδὴ πολλοὺς Ἕλληνας ἐπέστρεφεν εἰς τὴν πίστιν τοῦ Χριστοῦ, διὰ τοῦτο ἔλαβε τὴν ἀπόφασιν τοῦ θανάτου. Βαλόντες λοιπὸν οἱ ὑπηρέται εἰς τὸ στόμα τοῦ ἁγίου χαλινὸν, τὸν ἐπεφόρτισαν ἐπάνω εἰς μίαν ἅμαξαν, ἐπειδὴ δὲν ἠδύνατο νὰ περιπατῇ μὲ τὸ νὰ ἦτον ἐννενήκοντα τριῶν ἐτῶν γέρων. Ὅταν δὲ ἔφθασεν εἰς ἕνα τόπον ὀνομαζόμενον Ῥάξον, ἐκεῖ ἐστάθησαν οἱ βόες τῆς ἁμάξης ἀφ' ἑαυτῶν· διότι ἦλθε φωνὴ ἀπὸ τὸν οὐρανὸν, ἡ ὁποία ἐπρόσταξεν, ὅτι ἐκεῖ νὰ σταθῶσιν. Ὅθεν κλίνας τὸν αὐχένα ὑπὸ τὸ ξίφος, ἀπεκεφαλίσθη, καὶ οὕτως ἔλαβεν ὁ μακάριος διπλοῦς τοὺς στεφάνους, καὶ ὡς Ἱεράρχης καὶ ὡς ἀθλητὴς Κυρίου.

## Τῇ 4 Ἰουλίου μνήμην ἐπιτελοῦμεν τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἀνδρέου Ἀρχιεπισκόπου Κρήτης τοῦ Ἱεροσολυμίτου.

Θανὼν ἐφεῦρε τῶν πόνων στέφος μέγα,
Κρήτης ὁ ποιμὴν, οὗ πόνος κανὼν μέγας.
Τῇ δὲ Τετάρτῃ ἀρχιθύτην μόρος Ἀνδρέαν εἷλε.

Οὗτος ἦτον ἐν ἔτει χξ'. κατήγετο δὲ ἀπὸ τὴν πόλιν Δαμασκὸν, τὸ νῦν λεγόμενον Σιάμ, γεννηθεὶς ἀπὸ γονεῖς θεοφιλεῖς Γεώργιον καὶ Γρηγορίαν ὀνομαζομένους· μαθὼν δὲ τὰ ἱερὰ γράμματα, ὅταν ἔγεινε 14 ἐτῶν, κατετάχθη εἰς τὸ τάγμα τῶν Κληρικῶν, ἤτοι ἔγεινεν Ἀναγνώστης ἀπὸ τὸν τότε Πατριάρχην τῶν Ἱεροσολύμων Θεόδωρον ὀνόματι, καὶ Νοτάριος αὐτοῦ ἐπροβλήθη. Ὅθεν ἐγίνετο τοῖς πᾶσι τὰ πάντα κατὰ τὸν



Ἀπόστολον Παῦλον. Ὅτε δὲ συνεκροτήθη ἐν Κωνσταντινουπόλει ἡ ἁγία καὶ Οἰκουμενικὴ ἕκτη Σύνοδος ἐν ἔτει χπ'. ἐπὶ Κωνσταντίνου τοῦ Πωγωνάτου, ἀπεστάλη καὶ οὗτος εἰς τὴν Σύνοδον παρὰ τοῦ Πατριάρχου Ἱεροσολύμων καὶ ἠγωνίσθη κατὰ Μονοθελητῶν. Ἐκεῖ δὲ εὑρισκόμενος ἔγεινε διάκονος τῆς μεγάλης Ἐκκλησίας διὰ τὴν ἀρετὴν καὶ σοφίαν του, ἔπειτα ἔγεινεν ὀρφανοτρόφος, καὶ μετὰ ταῦτα ἔγεινεν Ἀρχιεπίσκοπος Κρήτης. Ἐνῷ δὲ ἐπήγαινεν εἰς τὴν ἐπαρχίαν του τὸ δεύτερον ἔφθασεν ἕως εἰς τὴν Μιτυλήνην, καὶ ἐκεῖ παρέδωκε τὴν ψυχήν του εἰς χεῖρας Θεοῦ, ἐν τόπῳ λεγομένῳ Ἐρεσσός, ἀφήσας εἰς τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ πάμπολλα συγγράμματα.

## Τῇ 18 Σεπτεμβρίου μνήμην ἐπιτελοῦμεν τοῦ Ὁσίου Πατρὸς ἡμῶν Εὐμενίου Ἐπισκόπου Γορτύνης τῆς κατὰ Κρήτην τοῦ θαυματουργοῦ.

Τὸ λεῖον Εὐμένιος ὄμμα Γορτύνης,
Πανευμενὲς κατεῖδεν ὄμμα Κυρίου.
Ὀγδοάτῃ δεκάτῃ θάνεν Εὐμένιος μεγαλήτωρ.

Οὗτος ὁ ἀοίδιμος Εὐμένιος ἐκ νεαρᾶς ἡλικίας ὑπέβαλε τὸν ἑαυτόν του εἰς πολλὰς σκληραγωγίας καὶ ἀσκήσεις, καὶ πολλὴν ἐπιμέλειαν μεταχειρισθεὶς, ἀπέκτησεν ἄκραν ταπείνωσιν· διὰ τοῦτο καὶ ἠξιώθη νὰ γένῃ ἐπίσκοπος τῆς κατὰ νῆσον Κρήτην Γορτύνης, καὶ ἐνταυτῷ ἠξιώθη νὰ λάβῃ θεόθεν καὶ τὴν τῶν θαυμάτων χάριν καὶ δύναμιν. Ὅθεν μίαν φορὰν μὲ ἀναμμένας λαμπάδας κατέκαυσεν ἕνα δράκοντα, ὅστις ὥρμησε κατ' ἐπάνω του· πορευθεὶς δὲ εἰς τὴν Ῥώμην κατεφώτισεν

www.tezaurliturgic.ro

αὐτὴν μὲ τὰς θείας διδασκαλίας του, καὶ μὲ σημεῖα καὶ θαύματα τοὺς ἐκεῖ πιστοὺς ἐστερέωσεν. Ἀπὸ τὴν Ῥώμην δὲ ἀναχωρήσας ἐπῆγεν εἰς Θηβαΐδα, καὶ χωρὶς νὰ θέλῃ, παρευθὺς διέλυσε τὴν ξηρασίαν ὁποῦ ἐπεκράτει εἰς ἐκεῖνα τὰ μέρη διὰ τῆς προσευχῆς του. Ἐκεῖ λοιπὸν εὑρισκόμενος, παρέδωκε τὴν ψυχήν του εἰς χεῖρας Θεοῦ. Οἱ δὲ ἐν τῇ Θηβαΐδι κατοικοῦντες ἀπέστειλαν τὸ ἅγιον αὐτοῦ λείψανον εἰς τὴν ἰδικήν του πατρίδα καὶ ποίμνην ἤτοι εἰς τὴν Γορτύνην, τὸ ὁποῖον καὶ ἐνεταφιάσθη εἰς ἕνα τόπον ὀνομαζόμενον Ῥάξος. ὅπου εὑρίσκεται καὶ τὸ σεπτὸν λείψανον τοῦ θείου Κυρίλλου.

Ταῖς τῶν Διδασκάλων πρεσβείαις, Χριστὲ ὁ Θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

## Ἐξαποστειλάριον.

Τοῖς μαθηταῖς συνέλθωμεν.

Μύστα τῆς θείας χάριτος, καὶ Ἀπόστολε Τῖτε, Ἀνδρέα τε σὺν Κυρίλλῳ, πρεσβεύετε τῇ Τριάδι, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ δοῦναι τοῖς γεραίρουσι, τὴν ἱερὰν ὑμῶν μνήμην, καὶ ὑμᾶς πόθῳ τιμῶσι, τῶν δυσχερῶν, καὶ πταισμάτων λύσιν καὶ σωτηρίαν, καὶ δόξαν καὶ λαμπρότητα, οὐρανῶν βασιλείας.

Ἕτερον. Γυναῖκες ἀκουτίσθητε.

Τὸν Παῦλον ἐκμιμούμενος, τὸν κήρυκα τῆς πίστεως, τῆς ἀνωτάτω σοφίας, τὰ δόγματα κατασπείρας, πάσας αἱρέσεις ἤμβλυνας, Ἱεραρχῶν ἀγλάϊσμα, Εὐμένιε θεόσοφε, διὸ καὶ Κρήτης ἐδείχθης, ὑπέρμαχος θεοφόρε.

Θεοτοκίον.

Μαρία καθαρώτατον, χρυσοῦν θυμιατήριον, τῆς ἀχωρήτου Τριάδος, δοχεῖον γέγονας ὄντως· ἐν ᾧ Πατὴρ



ηὐδόκησεν ὁ δὲ Υἱὸς ἐσκήνωσε, καὶ Πνεῦμα τὸ πανάγιον, ἐπισκιάσαν σοι Κόρη, ἀνέδειξε Θεοτόκον.

## Εἰς τοὺς Αἴνους

ἵστῶμεν στίχ. δ'. καὶ ψάλλομεν τὰ παρόντα ἰδιόμελα. ἦχος γ'.

Τὸ μέγα κλέος τῶν Ἀρχιερέων, Τῖτον τὸν Ἀπόστολον, ἱεροπρεπῶς εὐφημήσωμεν· οὗτος γὰρ τῇ δυνάμει τοῦ Πνεύματος, τὰ τῆς ὀρθοδοξίας τρόπαια ἀνεστήσατο καθ' ὅλης τῆς Κρήτης, ἀριθμῶν εὐσεβῶς τὸ τῆς Τριάδος μυστήριον, διὰ τὴν τῶν προσώπων ἰδιότητα, καὶ πάλιν συνάπτων ἀσυγχύτως εἰς ἕν, διὰ τὴν τῆς οὐσίας ταυτότητα· καὶ χερουβικῶς θεολογῶν, πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἡ μεγάλη τῆς ἀληθείας σάλπιγξ, ὁ σοφώτατος Ἀνδρέας, πρὸς εὐωχίαν σήμερον, συγκαλεῖται τὴν Ἐκκλησίαν· φαιδρῶς πάντες πιστοὶ, πρὸς τὴν πανήγυριν ὑπαντήσωμεν τοῦ καλοῦ ποιμένος, ὕμνοις γεραίροντες τοὺς ἱεροὺς αὐτοῦ πόνους· Ὅπως ταῖς πρεσβείαις αὐτοῦ, λάβωμεν παρὰ Χριστοῦ τοῦ Θεοῦ, τὸ μέγα ἔλεος.

Ἦχος δ'.

Ποιμὴν ἀληθὴς, καὶ τοῦ ἀρχιποίμενος Χριστοῦ μιμητὴς, ἀνεδείχθης θεόσοφε Κύριλλε· ἐν γήρᾳ γὰρ βαθυτάτῳ, διὰ τὸ τὸν Χριστὸν διαπρυσίως κηρύττειν, δεσμοῖς καὶ πυρὶ παρεδόθης ὑπὸ τοῦ δυσσεβοῦς ἄρχοντος· ὃν ἐξέπληξας, μείνας ἄφλεκτος, τῇ ἰσχύϊ τοῦ ἐνδυναμοῦντός σε Χριστοῦ. Πολλοὺς δὲ ἐκ τοῦ σκότους τῆς ἀγνωσίας, εἰς τὸ τῆς ἀληθείας φῶς καθοδηγήσας, ξίφει τὴν κεφαλὴν ἀπετμήθης, καὶ τὸν τοῦ μαρτυρίου ἀμάραντον ἀπείληφας στέφανον. Διὸ ἡ Κρήτη σήμερον, πολιοῦχόν σε κεκτημένη, ἀγάλλεται πανηγυρίζουσα,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠ...

www.tezaurliturgic.ro

τὴν μνήμην σου Ἱεράρχα· πρέσβευε οὖν Χριστῷ τῷ Θεῷ, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἦχος πλ. β'.

Ὁ τὴν χάριν τῶν θαυμάτων, οὐρανόθεν κομισάμενος, καὶ τὴν πλάνην τῶν εἰδώλων, στηλιτεύσας ἐν τοῖς δόγμασιν, Ἀρχιερέων ὑπάρχεις δόξα καὶ ἑδραίωμα, παμμακάριστε Εὐμένιε, ὁ τὴν Ῥώμην καταφωτίσας ταῖς θείαις διδασκαλίαις σου. Παρρησίαν οὖν ἔχων πρὸς Χριστὸν, αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, ἦχος πλ. δ.

Δεῦτε φιλεόρτων τὸ σύστημα, δεῦτε τῶν πιστῶν ἡ ὁμήγυρις· δεῦτε ὀρθοδόξων χορεῖαι, ᾄσμασιν ἐγκωμίων στέψωμεν, τὴν ἀεισέβαστον τετρακτὺν, τῶν διδασκάλων ἡμῶν. Οὗτοι γὰρ πάντα ζόφον ἀθείας, καὶ πᾶσαν ἀπάτην τῶν δυσμενῶν, νεανικῶς καθελόντες, τῇ ἀηττήτῳ τοῦ παντάνακτος ἰσχύϊ, τὸν κόσμον κατηύγασαν θεογνωσίας ἐλλάμψεσι· καὶ νῦν πρεσβεύουσιν ὑπὲρ ἡμῶν, τῶν ἐν πίστει τελούντων, τὴν μνήμην αὐτῶν.

Καὶ νῦν. Μακαρίζομέν σε Θεοτόκε παρθένε.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις

## Εἰς τὴν Λειτουργίαν

### Ὁ Ἀπόστολος

*Προκείμενον*, Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν.

*Στίχ.* Οἱ οὐρανοὶ διηγοῦνται.

*Πρὸς Ἑβραίους* . . . »Ἀδελφοὶ πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν.

Ζήτει τῇ 6 Δεκεμβρ.

*Εὐαγγέλιον*, Ἐκ τοῦ κατὰ Ματθαῖον.

»Εἶπεν ὁ Κ. τοῖς ἑαυτοῦ μαθηταῖς: Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου . . .

Ζήτει ἔμπροσθεν.

*Κοινων.* Εἰς μνημόσυνον αἰώνιον ἔσονται δίκαιοι.



## Μεγαλυνάρια.

Αἱ γενεαὶ πᾶσαι, ὑμᾶς ὑμνολογοῦμεν, τέσσαρες Ἱεράρχαι.

Αἱ γενεαὶ πᾶσαι, ὑμᾶς μακαριοῦμεν, τρισόλβιοι πατέρες.

Λόγε Θεοῦ Παντάναξ, δός μοι σῷ δούλῳ λόγον, σοὺς μύστας εὐφημῆσαι.

Τῖτε θεοκῆρυξ, τὴν Κρήτην σαῖς πρεσβείαις, φύλαττε ἐκ κινδύνων.

Τῆς Κρήτης ποιμενάρχης, πρῶτος ἀνεδείχθης, ὑπὸ τῶν κορυφαίων.

Τοῦ Χριστοῦ παμμάκαρ, θεατὴς ἐγένου, καὶ μαθητὴς συνάμα.

Φωνῆς ἤκουσας Τῖτε, καλούσης σε πρὸς γνῶσιν, Θεοῦ τοῦ σαρκωθέντος.

Παύλῳ συναπεστάλης, διδάσκειν τοὺς ἀνθρώπους, Εὐαγγελίου λόγοις.

Εἰς πᾶσαν γῆν ἐξῆλθεν, ὁ φθόγγος ὁ σὸς Τῖτε, ὡς προφητάναξ φάσκει.

Εἰς ἅπαντα τὰ ἔθνη, ἐστάλης σὺν τῷ Παύλῳ, ζῶντα Θεὸν κηρύξαι.

Ὑπέρμαχος ἐφάνης, τῆς ὀρθοδοξίας, καὶ Κρήτης Ἱεράρχης.

Τοὺς Κρῆτάς σε ὑμνοῦντας, πρεσβείαις σαῖς ὦ Τῖτε, ῥῦσαι δεινῶν παντοίων.

Τῆς Κρήτης ποιμενάρχης, ἀπὸ Θεοῦ ἐχρίσθης, Ἀνδρέα θεορρῆμον.

Ἑόρταζε ἡ Κρήτη, τὴν μνήμην σοῦ ποιμένος, Ἀνδρέου τοῦ πανσόφου.

Ἀρχιερεὺς τῆς Κρήτης, φρουρός τε ταύτης πάτερ, ὑπὸ Θεοῦ ἐδόθης.

www.tezaurliturgic.ro

Κατέλιπες Ἀνδρέα, μέλη πολλὰ καὶ λόγους, Χριστοῦ τῇ Ἐκκλησίᾳ.

Ἀνύμνησας Παρθένον, ἁγίων τε τοὺς πλείστους, οἷς νῦν συνεπαγάλλῃ.

Ἁβρύνεται ἡ Κρήτη, σὲ σχοῦσα ποιμενάρχην, Ἀνδρέα καὶ προστάτην.

Εὐμένιε θεόφρον, Γορτύνης Ἱεράρχα, ὑπὲρ ἡμῶν δυσώπει.

Οἷα πυρσὸς παμμάκαρ, ταῖς θείαις διδαχαῖς σου, ἐφώτισας τὴν Ῥώμην.

Τέρασι καὶ σημείοις, πολλοὺς ὦ θεῖε πάτερ, κατέπληξας ἐκεῖσε.

Τὴν Κρήτην περιφρούρει, ταῖς ἱκεσίαις πάτερ, ὡς πολιοῦχος ταύτης.

Μὴ παύσῃς ἱκετεύων, ὑπὲρ ἡμῶν τὸ Θεῖον, Εὐμένιε θεόφρον.

Γορτύνης ἱεράρχης, καὶ μάρτυς τοῦ Σωτῆρος, ὦ Κύριλλε ἐδείχθης.

Τὰ πλήθη τῆς Γορτύνης, προστάτην σε πλουτοῦντες, Χριστὸν δοξολογοῦμεν.

Ἐξέχεας τὸ αἷμα, τὸ σὸν Ἱερομάρτυς, ὑπὲρ Χριστοῦ ἀγάπης.

Ἡγίασας τὴν Κρήτην, τῇ χύσει σῶν αἱμάτων, ὦ Κύριλλε παμμάκαρ.

Ὦ Κύριλλε πολύτλα, σοὺς διαδόχους σκέπε, ταῖς πρὸς Θεὸν εὐχαῖς σου.

Διδάσκαλοι τῆς Κρήτης, ὀρθοδοξίας πύργοι, ἐδείχθητε πατέρες.

Τετρὰς σεπτὴ πατέρων, μνήσθητε ἐν τῇ κρίσει, πάντων ἡμῶν θεόπται.



Κρῆτας ὑμᾶς τιμῶντας, σκέπετε θεοφόροι, καὶ ῥύετε κινδύνων.

*Δόξα.*

Τρισήλιε Θεότης, τεσσάρων διδασκάλων, λιταῖς τὴν Κρήτην σκέπε.

*Καὶ νῦν.*

Ἀμόλυντε Παρθένε, μετὰ τῶν διδασκάλων, τὸν σὸν Υἱὸν δυσώπει.

### Ἕτερον μεγαλυνάριον.

Δεῦτε εὐφημήσωμεν οἱ πιστοί, Κρήτης τοὺς ποιμένας Ἱεράρχας τοὺς φωταγωγεῖς· Εὐμένιον Τίτον, σὺν τῷ σεπτῷ Κυρίλλῳ, καὶ τὸν σοφὸν Ἀνδρέαν πάντες δοξάσωμεν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## Δοξαστικὰ

### ψαλλόμενα ἐν τῇ ἰδιαιτέρᾳ ἑκάστου Ἱεράρχου ἑορτῇ·

Τοῦ Τίτου, *ἦχος πλ. ά.*

Ἀποστολικοῖς ἀγῶσι, σαυτὸν κατακοσμήσας, τῶν Ἀποστόλων συνόμιλος γέγονας, Τίτε Ἀπόστολε· πανταχοῦ γὰρ τὸν λόγον τῆς πίστεως κηρύξας, ἀπείληφας τὸ βραβεῖον τῆς ἄνω κλήσεως· Κρήτη γάρ σου κομπάζει τὰ θαύματα ὁμοῦ καὶ τὰ διδάγματα· καὶ ἡ λάρναξ τοῖς ἐν αὐτῇ ἐν πίστει προσιοῦσι, βρύει ἰάματα· μεθ' ὧν καὶ ἡμῖν ὄμβρησον, ψυχικῶν νοσημάτων, καὶ κινδύνων ἐξάρπασον, καὶ πάσης περιστάσεως, τοὺς ἐν πίστει τελοῦντας, τὸ ἱερόν σου μνημόσυνον.

Τοῦ Κυρίλλου, *ἦχος δ'.*

Φαιδρὰ καὶ χαρμόσυνος, ἐπέλαμψεν ἡ μνήμη, τοῦ Ἱερομάρτυρος Κυρίλλου· οὗ τοῖς ἀγῶσι Κρήτη ἐγκαλλωπιζομένη, τοῖς ᾄσμασιν ὡς ἄνθεσιν, τὴν ἱερὰν

www.tezaurliturgic.ro

αὐτοῦ πανήγυριν καταστέφει ἐκβοῶσα· Χαίροις ὁ ποιμὴν ὁ καλός, ὁ τὴν ψυχὴν θεὶς ὑπὲρ τῶν προβάτων, ἡ θυσία καὶ θύτης, ὁ ἱερεὺς καὶ ἱερεῖον. Ἀλλ' ὦ μαρτύρων σύσκηνε καὶ Ἱεραρχῶν σύνθρονε, τὴν εὐλαβῶς σε γεραίρουσαν νῆσον, πάσης ἀπειλῆς δαιμόνων ἐλευθέρωσον, καὶ σωτηρίας πρὸς ὅρμον, τοὺς ἐν αὐτῇ οἰκοῦντας ἴθυνον.

Τοῦ Εὐμενίου, ἦχος δ'.

Τὸν ἐν σαρκὶ ἰσάγγελον βίον σου, ἄγγελοι καὶ ἄνθρωποι ἐθαύμασαν, Ἱερεῖς καὶ μονάζοντες ηὐλαβήθησαν, Θεὸς δὲ ἐδόξασεν, ὁ αὐτὸς ὑπὸ σοῦ δοξασθείς· ὃν νῦν ἡμῖν ἐξιλέωσαι, Εὐμένιε Πάτερ ἁγιώτατε.

Τοῦ Ἀνδρέου, ἦχος α'.

Ἐνατενίσας ἀκλινῶς, τῷ ὕψει τῆς γνώσεως, καὶ κατοπτεύσας ἀδήλως, σοφίας τὸν βυθόν, σαῖς διδαχαῖς κόσμον κατεπλούτισας, Πάτερ Ἀνδρέα· ὑπὲρ ἡμῶν Χριστὸν δυσώπει, Κρήτης Ἱεράρχα.

---

Ἐξαποστειλάρια μετὰ τῶν Θεοτοκίων.

Τοῦ Ἀνδρέου

Ἦχος γ'. Ὁ οὐρανὸν τοῖς ἄστροις

Ἀρχιερέων κλέος, καὶ τῶν πτωχῶν προασπιστής, σὺ ἀνεδείχθης Ἀνδρέα, Πάτερ καὶ στήλη ἀρετῶν· διὸ μνημόνευε πάντων, τῶν ἀνυμνούντων σε πόθῳ.

Θεοτοκίον.

Ὁ γλυκασμὸς τῶν Ἀγγέλων, τῶν θλιβομένων ἡ χαρά, χριστιανῶν ἡ προστάτις, Παρθένε Μήτηρ Κυρίου· ἀντιλαβοῦ μου καὶ ῥῦσαι, τῶν αἰωνίων βασάνων.



Τοῦ Κυρίλλου

Τῶν μαθητῶν ὁρώντων σε.

Χορείαν ἄγε σήμερον ἐτησίαν, Κρητῶν ἡ μεγαλόνησος εὐφροσύνως, Κυρίλλου τοῦ ποιμένος σου, καὶ σκίρτησον, τὸν πολιοῦχον ἔχουσα, διατηροῦντά σε βλάβης, τῶν δυσμενῶν ἀνωτέραν.

Θεοτοκίον.

Εἴτις τὴν σὴν πανάμωμε Θεοτόκε, εἰκόνα οὐκ ἀσπάζεται μετὰ πόθου, εἰς τὸ πῦρ βληθήσεται τῆς γεέννης, ὥσπερ ὁ ἄφρων Ἄρειος· ἡμεῖς δέ σε Παναγία, κατασπαζόμεθα πόθῳ.

Τοῦ Εὐμενίου

Φῶς ἀναλλοίωτον Λόγε.

Ἐν Ἱεράρχαις αὐγάζεις, ὡς ἥλιος ἐν ἡμέρᾳ, καὶ ἐν ὁσίοις ἐκλάμπεις, ὥσπερ ἐν ἄστροις σελήνη· διό σε ἀνευφημοῦμεν, Εὐμένιε θεοφόρε, τῆς Κρήτης ὄντως τὸ κλέος.

Θεοτοκίον

Φωτὸς δοχεῖον ἐδείχθης, φωτολαμπὲς Θεοτόκε, τὸ ἄχρονον ἐκ γαστρός σου, φῶς γὰρ ἀνέτειλε κόσμῳ, καὶ κατεφώτισε πάντας, τοὺς ὀρθοδόξως, σὲ Θεοτόκον ὑμνοῦντας.

---



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro




Ἐσχεδ. ὑπὸ Α. Β.

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ
## ΜΥΡΩΝΟΣ ΕΠΙΣΚΟΠΟΥ ΚΝΩΣΟΥ ΚΡΗΤΗΣ
## ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ.

*ψαλλομένη τὴν 8 Αὐγούστου.*

---

Ἑσπέρας, ἐν τῷ μεγάλῳ ἑσπερινῷ, στιχολογοῦμεν τὸ «Μακάριος ἀνήρ». Εἰς δὲ τὸ «Κύριε ἐκέκραξα» ἱστῶμεν στίχ. ϛ'. καὶ ψάλλομεν τῆς Ἑορτῆς γ'. καὶ τοῦ Ἁγίου γ'.

Τροπάρια τῆς Ἑορτῆς ἦχος δ'.

Πρὸ τοῦ σταυροῦ σου Κύριε, ὄρος οὐρανὸν ἐμιμεῖτο, νεφέλη ὡς σκηνὴ ἐφηπλοῦτο· σοῦ μεταμορφουμένου ὑπὸ Πατρὸς δὲ μαρτυρουμένου, παρῆν ὁ Πέτρος σὺν Ἰακώβῳ, καὶ Ἰωάννῃ, ὡς μέλλοντες συνεῖναί σοι, καὶ ἐν τῷ καιρῷ τῆς παραδόσεώς σου· ἵνα θεωρήσαντες τὰ θαυμάσιά σου, μὴ δειλιάσωσι τὰ παθήματά σου· ἃ προσκυνῆσαι ἡμᾶς, ἐν εἰρήνῃ καταξίωσον, διὰ τὸ μέγα σου ἔλεος.

Πρὸ τοῦ Σταυροῦ σου, Κύριε, παραλαβὼν τοὺς μαθητὰς εἰς ὄρος ὑψηλὸν, μετεμορφώθης ἔμπροσθεν αὐτῶν, ἀκτῖσι δυνάμεως καταυγάζων αὐτούς· ἔνθεν φιλανθρωπίᾳ, ἐκεῖθεν ἐξουσίᾳ δεῖξαι βουλόμενος τῆς ἀναστάσεως τὴν λαμπρότητα· ἧς καὶ ἡμᾶς ὁ Θεὸς, ἐν εἰρήνῃ καταξίωσον, ὡς ἐλεήμων καὶ φιλάνθρωπος.

Εἰς ὄρος ὑψηλὸν μεταμορφωθεὶς ὁ Σωτὴρ, τοὺς

www.tezaurliturgic.ro

κορυφαίους ἔχων τῶν μαθητῶν, ἐνδόξως ἐξέλαμψας· δηλῶν ὅτι οἱ τῷ ὕψει τῶν ἀρετῶν διαπρέψαντες, καὶ τῆς ἐνθέου δόξης ἀξιωθήσονται· συλλαλοῦντες δὲ τῷ Χριστῷ Μωϋσῆς καὶ Ἠλίας ἐδείκνυον, ὅτι ζώντων καὶ νεκρῶν κυριεύει· καὶ ὁ πάλαι διὰ νόμου, καὶ προφητῶν λαλήσας ὑπῆρχε Θεός· ᾧ καὶ φωνὴ τοῦ Πατρὸς ἐκ νεφέλης φωτεινῆς ἐμαρτύρει λέγουσα· Αὐτοῦ ἀκούετε, τοῦ διὰ σταυροῦ τὸν Ἅδην σκυλεύσοντος, καὶ νεκροῖς δωρουμένου ζωὴν τὴν αἰώνιον.

Τοῦ Ἁγίου, ποίημα Μελετίου ἀρχιεπισκόπου Κρήτης.

Ἦχος ά. Πανεύφημοι μάρτυρες.

Μύρων πανσεβάσμιε πιστούς, ἡ σὴ μνήμη σήμερον, προσεκαλέσατο ἅπαντας, πανηγυρίσαι σου, ἀρετὰς τὰς θείας, βίου τὴν λαμπρότητα, θαυμάτων τὴν πληθὺν ἣν ἀπείργασαι, Θεοῦ τῇ χάριτι, Ἱεράρχα Ἱερώτατε, ὃν δυσώπει, ὑπὲρ τῶν τιμώντων σε.

Ὦ Μύρων, ὡς ἥλιος αὐγαῖς, Κρήτην τὴν περίφημον, ταῖς τῶν θαυμάτων ἐλάμπρυνας, ὅθεν καὶ δράκοντα, τῇ Χριστοῦ δυνάμει, χώραν λυμαινόμενον, αὐτῆς μακρὰν ἐδίωξας Ἅγιε, καὶ συνεχώρησας, τοῖς τὴν ἅλωνα συλοῦσί σου, καὶ τὸ ῥεῖθρον, ποταμοῦ συνέστειλας.

Κρητῶν τὰ συστήματα σοφέ, Μύρων κατεφώτισας, ταῖς ὑποθήκαις σου Ἅγιε, καὶ παραινέσεσι, νουθετῶν διδάσκων καὶ λαμπρὸν ὑπόδειγμα, θεόφρων σεαυτὸν παρεχόμενος· διὸ ἱκέτευε, τοῖς ὑμνοῦσί σε δωρήσασθαι τὴν εἰρήνην, καὶ παθῶν ἐκλύτρωσιν.

Δόξα. Ἦχος πλ. β'.

Ἱεραρχῶν τὴν καλλονήν, καὶ τῶν πατέρων κλέος, τὴν βρύσιν τῶν θαυμάτων, καὶ τῶν Κρητῶν ποιμενάρχην ἄριστον, συνελθόντες, ὦ φιλέορτοι, ᾀσματικοῖς ἐγκωμίοις, ὑμνήσωμεν λέγοντες· χαίροις, ὁ τῶν ἐν Κρήτῃ φρουρός, καὶ πρόεδρος σεπτός, καὶ στύλος καὶ ἑδραίωμα. χαίροις ἀστὴρ χρυσαυγέστατε, ὁ τὴν νῆσον Κρήτην, καταυγάζων τοῖς θαύμασι. χαίροις τῶν θλιβομένων ἡ θεία χαρμοσύνη, καὶ τῶν σὲ τιμώντων θερμότατος προστάτης. διὸ Θεόφρον Μύρων σεπτέ, μὴ παύσῃ πρεσβεύων Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῶν ἐν Κρήτῃ οἰκούντων καὶ πάντων πιστῶν, λυτρωθῆναι κινδύνων, καὶ πάσης κακώσεως.



Καὶ νῦν. τῆς Ἑορτῆς. ὁ αὐτός.

Προτυπῶν τὴν ἀνάστασιν τὴν σήν, Χριστὲ ὁ Θεός, τότε παραλαμβάνεις τοὺς τρεῖς σου μαθητάς, Πέτρον, καὶ Ἰάκωβον καὶ Ἰωάννην, ἐν τῷ Θαβὼρ ἀνελθών. Σοῦ δὲ Σωτὴρ μεταμορφουμένου, τὸ Θαβώριον ὄρος φωτὶ ἐσκέπετο· οἱ μαθηταί σου Λόγε, ἔρριψαν ἑαυτοὺς ἐν τῷ ἐδάφει τῆς γῆς, μὴ φέροντες ὁρᾶν τὴν ἀθέατον μορφήν. ἄγγελοι διηκόνουν φόβῳ καὶ τρόμῳ, οὐρανοὶ ἔφριξαν, γῆ ἐτρόμαξεν, ὁρῶντες ἐπὶ γῆς, τῆς δόξης τὸν Κύριον.

Εἴσοδος τὸ, Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα τῶν γ' Ἱεραρχῶν σελ. 47.

Εἰς τὴν Λιτήν. στιχηρὰ ἰδιόμελα. ἦχος ά.

Ἄνθρωπε τοῦ Θεοῦ καὶ πιστὲ θεράπον, καὶ οἰκονόμε τῶν αὐτοῦ μυστηρίων, Ἱερουργὲ Κυρίου ἀνεξίκακε· Εἰκὼν τῆς πρᾳότητος, καὶ στήλη ἀρετῶν, ὡς μέγαν θησαυρόν σε ἡ τῶν Κρητῶν ἐκκλησία, κατέχουσα ἀγάλλεται· ἣν περίσωζε ἀκλόνητον, ταῖς πρὸς Θεόν σου δεήσεσι, Μύρων Θεόληπτε.

ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑ...

www.tezaurliturgic.ro

*Ἦχος δ'.*

Ἐλεημοσύνης βρύσιν καὶ στήλην πραότητος, ἀνέδειξέ σοι τῇ ποίμνῃ σου Χριστὸς ὁ Θεός, Ἱεράρχα Μύρων ὅσιε· ἐν γὰρ τῇ Κρήτῃ μυρίζων διαλάμπεις φαιδρῶς, τῷ πλήθει τῶν θαυμάτων σου, τῶν πτωχῶν καὶ ἀπόρων προστάτα· διὸ ἱκετεύων μὴ παύσῃ ὑπὲρ ἡμῶν τῶν τιμώντων σε·

*Ἦχος γ'.*

Μύρον ἐκκενωθὲν ἐπὶ σοὶ τῆς χάριτος, ἔχρισέ σε ἱερουργῆσαι, τὸ Εὐαγγέλιον τῆς βασιλείας τῶν οὐρανῶν, ὦ Μύρων θαυματοβρύτα· τοῦ Χριστοῦ γὰρ εὐωδία γενόμενος, τῆς ὀσμῆς τῆς γνώσεως αὐτοῦ πᾶσαν τὴν Κρήτην ἐπλήρωσας· διὸ τὰς φωνὰς τῶν ἱκετῶν σου, εὐμενῶς δεχόμενος, αἴτησαι ἡμῖν τοῖς τιμῶσί σε τὸ μέγα ἔλεος.

*Ἦχος πλ. α'.*

Δεῦτε φιλεόρτων τὸ σύστημα, δεῦτε ὁμοφρόνως προσέλθωμεν, ἐπὶ τῇ πανενδόξῳ μνήμῃ, τοῦ Ἱεράρχου καὶ πατρὸς ἡμῶν· δεῦτε καὶ κατίδωμεν, τὸ τῆς δαιμονιζομένης κόρης τερατούργημα· ἴδωμεν πῶς, ἀοράτως ἐν ὀνείρῳ, τῷ ἀνδρὶ αὐτῆς διαλέγεται· ἴδωμεν αὐτὴν πάσχουσαν, ὑπὸ τοῦ χαλεποῦ δαίμονος· Ἀκούσωμεν αὐτήν, πῶς ἡ ἰδία ἀποφθέγγεται, καὶ κροτήσωμεν τὰς χεῖρας εὐφαινόμενοι. Θεασώμεθα τῆς κόρης τὴν ἴασιν, καὶ βοήσωμεν· ὦ Μύρων πολυθαύμαστε ἴασαι καὶ ἡμῶν, τὰς ψυχὰς καὶ τὰ σώματα, καὶ λύτρωσαι τῆς τῶν δαιμόνων τυραννίδος· ἔχεις γὰρ τὴν ἰσχὺν ὡς Ἱεράρχης τοῦ βασιλέως Χριστοῦ, καὶ σωτῆρος τῶν ψυχῶν ἡμῶν.

*Ἦχος πλ. β'.*

Πατέρων ἀγλάϊσμα, ὦ Μύρων σεπτέ, καὶ ἀκροθί-



νιον, τῇ τῶν θαυμάτων σου αἴγλῃ, τῆς Κρήτης πάσης ἡδύνων τὰ μέρη, καὶ τῆς Ἐκκλησίας ὑπέρμαχος φανείς, τὸν Σωτῆρα ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Ὁ αὐτός.*

Εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, εὖ ἐργάτα τοῦ ἀμπελῶνος Χριστοῦ· σὺ καὶ τὸ βάρος τῆς ἡμέρας ἐβάστασας, σὺ καὶ τὸ δοθέν σοι τάλαντον ἐπηύξησας, καὶ τοῖς μετὰ σὲ ἐλθοῦσιν οὐκ ἐφθόνησας· διὸ πύλη σοι οὐρανῶν ἠνέῳκται. Εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου, καὶ πρέσβευε ὑπὲρ ἡμῶν, ἅγιε Μύρων ἔνδοξε.

*Ὁ αὐτός*

Ἐν ἱερεῦσι καὶ ἱεράρχαις διαπρέψας ὅσιε, πιστὸς ἀνεδείχθης ποιμὴν τῆς Χριστοῦ Ἐκκλησίας σοφέ· διὸ ἐν ταῖς ἀρεταῖς σου, εὐαρεστήσας τῷ Χριστῷ, πρέσβευε ὑπὲρ τῆς ποίμνης σου σὺν τοῖς ἄνω λειτουργοῖς, ἐν φωτὶ Μύρων αὐλιζόμενος.

*Δόξα ἦχος ὁ αὐτός*

Δεῦτε τῶν Κρητῶν τὸ σύστημα, πνευματικὴν χορείαν ἐπικροτήσωμεν, καὶ τὸν πανένδοξον καὶ θεῖον Ἱεράρχην, ᾀσματικοῖς ἐγκωμίοις ἐνδόξως ὑμνήσωμεν λέγοντες· χαίροις ὁ τῆς Κρήτης ποιμὴν καὶ μέγας ἀρωγός, καὶ στύλος ἀπερίτρεπτος· χαίροις φωστὴρ τηλαυγέστατε, ὁ ἐν τῇ νήσῳ Κρήτῃ διαλάμπων τοῖς θαύμασι· χαίροις τῶν πλανωμένων ὁδηγὸς καὶ εἰρήνη, καὶ τῶν θλιβομένων ἡ θεία χαρμοσύνη· Καὶ νῦν ὦ, Μύρων θεόπνευστε, μὴ παύσῃ πρεσβεύων Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τιμώντων ἀεί, τὴν χαρμόσυνον καὶ πανέορτον μνήμην σου.

*Καὶ νῦν τῆς ἑορτῆς*

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro

## Ἀπόστιχα

Ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος

Μύρων Ἱεράρχα ὅσιε, ἱερουργὸς ἱερὸς, καὶ θεράπων πανθαύμαστος, τοῦ Χριστοῦ γεγένησαι, ἐν τῇ Κρήτῃ πανόλβιε. ταῖς ἀρεταῖς σου καταλαμπόμενος, τῶν ἰαμάτων φέγγος ἀπήστραψας, σκότος ἑκάστοτε, νοσημάτων Ἅγιε ἀποσοβῶν· ὅθεν ἀνυμνοῦμέν σε, τὸν Κρήτης πρόμαχον.

Στίχ. Τίμιος ἐναντίον Κυρίου.

Μύρων Ἱεράρχα ἔνδοξε, ἐκδυσωπούμέν σε νῦν, Ἱεραῖς σου δεήσεσι, τοὺς ἐν Κρήτῃ φύλαττε, ἐκ κινδύνων καὶ θλίψεων, καὶ τῆς χρονείας ἡμᾶς ἀπάλλαξον, κακοπαθείας καὶ περιστάσεως, ὅπως γεραίρωμεν, σὲ καὶ μακαρίζομεν, ὡς Ἰατρόν, μέγιστον πανένδοξε, Κρήτης τὸ καύχημα.

Στίχ. Οἱ ἱερεῖς σου Κύριε.

Μύρων πατέρων ἀγλάϊσμα, τῶν ἀγαθῶν τὴν πηγὴν, ὀρεκτῶν ὡς τὸ ἔσχατον, ὁλικῶς ἐπόθησας, καὶ αὐτοῦ ταῖς λαμπρότησι, ταῖς ὑπερφώτοις καταυγαζόμενος, τὴν τῶν θαυμάτων χάριν ἐπλούτησας, Μύρων ἀοίδιμε, ἴασαι νοσήματα τῶν ἀσθενῶν, ὅπως σε δοξάζωμεν, τὸ Κρήτης καύχημα.

Δόξα ἦχος πλ. δ'.

Δεῦτε πάντες οἱ πιστοί, τὸ μέγα κλέος τῶν Ἀρχιερέων, ψαλμοῖς καὶ ὕμνοις χρεωστικῶς εὐφημήσωμεν, Μύρωνα τὸν θαυματόβρυτον· οὗτος γὰρ ἄληκτον ἔχων τὸ θεῖον ἐν ἑαυτῷ, τὴν τοῦ ποταμοῦ ὁρμὴν, ὄλεθρον ἀπειλοῦσαν συνέστειλε, καὶ πάλιν διὰ τῆς αὐτοῦ ῥάβδου ἐσκεύασε δράκοντα θανατηφόρον παρα-



δόξως ἐταρτάρωσε, καὶ κρήνην ὑδάτων, τῇ προσευχῇ ἐξήγαγε· τοὺς τὴν οἰκείαν ἅλωνα συλοῦντας δώδεκα ἄνδρας, συγχωρήσεως ἠξίωσε, καὶ τὸν σῖτον οἰκείαις χερσὶν ἀράμενος, τοῖς ὤμοις αὐτῶν ἐπέθηκεν. ὅθεν πᾶσιν αἰδέσιμος γέγονε, καὶ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας προέστη, καὶ τοῦ κόσμου πρεσβευτὴς, ὤφθη δυνατώτατος.

Καὶ νῦν τῆς Ἑορτῆς ἦχος πλ. β'.

Πέτρῳ καὶ Ἰωάννῃ καὶ Ἰακώβῳ, τοῖς προκρίτοις μαθηταῖς σου Κύριε, σήμερον ὑπέδειξας ἐν τῷ ὄρει τῷ Θαβώρ, τὴν δόξαν τῆς θεϊκῆς σου μορφῆς· ἔβλεπον γὰρ τὰ ἱμάτιά σου, ἀστράψαντα ὡς τὸ φῶς, καὶ τὸ πρόσωπόν σου ὑπὲρ τὸν ἥλιον· καὶ μὴ φέροντες ὁρᾷν τὸ ἄστεκτον τῆς σῆς ἐλλάμψεως, εἰς γῆν κατέπιπτον, μηδόλως ἀτενίσαι ἰσχύοντες. Φωνῆς γὰρ ἤκουον μαρτυρούσης ἄνωθεν· Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ὁ ἐλθὼν εἰς τὸν κόσμον, σῶσαι τὸν ἄνθρωπον.

Ἀπολυτίκιον ἦχος γ'. Θείας πίστεως

Μέγας ἥλιος, ἐν Κρήτῃ Πάτερ, ἀνατέταλκας, θαυμάτων πλήθει, καταφωτίζων αὐτὴν ἱερώτατε· ὡς οὖν ὁρμὴν ποταμοῦ διεκώλυσας, καὶ τὸν ὀλέθριον δράκοντα ἐλίθωσας· οὕτως Ἅγιε Χριστῷ, θεῖε Μύρων πρέσβευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἕτερον ἦχος δ'. Ταχὺ προκατάλαβε.

Προστάτης καὶ πρόμαχος, τοῦ σοῦ ποιμνίου σοφὲ, καὶ τεῖχος καὶ καύχημα τῆς νήσου Κρήτης σαφῶς, ἐδείχθης θεόληπτε· εὔφρανας ὀρθοδόξων, τὰς χορείας τρισμάκαρ, ἔπλησας Κρήτην πᾶσαν, τῶν πολλῶν σου θαυμάτων· διὸ ὑπὲρ ἡμῶν τὸν Χριστὸν, Μύρων ἱκέτευε.

Καὶ νῦν τῆς Ἑορτῆς

www.tezaurliturgic.ro

# Εἰς τὸν Ὄρθρον

Μετὰ τὴν α΄. στιχ. Καθίσματα

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Θαυμάτων αὐτουργός, γεγονὼς θεοφόρε, καὶ πάντων πρὸς Θεόν, πρεσβευτὴς καὶ μεσίτης, ὦ Μύρων μακάριε, νήσου Κρήτης τὸ καύχημα· ῥῦσαι δέομαι, τῆς τῶν παθῶν τυραννίδος, τοὺς ἱκέτας σου, καὶ τῆς φλογὸς τῆς μελλούσης, πρεσβεύων πρὸς Κύριον.

Δόξα ἦχος πλ. δ΄. Τὴν σοφίαν καὶ Λόγον.

Τὴν ἐτήσιον μνήμην, νῦν οἱ πιστοί, ἐκτελοῦντες ἐν πόθῳ, πάντες ἡμεῖς, τοῦ μείζονος Μύρωνος, Ἱεράρχου πατρὸς ἡμῶν, τὸ γαληνὸν τὸ πρᾶον, καὶ τὸ ἀμνησίκακον, τὸ δαψιλὲς καὶ λίαν πτωχοῖς εὐμετάδοτον, χρέος ἐπαινέσαι, ἡμῖν τοῦτον τιμῶσι, τὸ εὔτονον αὖθις δέ, προσευχῆς καὶ ἐντεύξεως, μηδαμῶς παροψώμεθα· κραυγάζοντες αὐτῷ ἐκτενῶς, τῶν ποθούντων μέμνησο τὴν μνήμην σου, νῦν ἑορτάζειν ἐν πίστει, καὶ πάντας συντήρησον.

Καὶ νῦν τῆς Ἑορτῆς. ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ

Τὴν τῶν βροτῶν ἐναλλαγήν, τὴν μετὰ δόξης σου Σωτήρ, ἐν τῇ δευτέρᾳ καὶ φρικτῇ, τῆς σῆς ἐλεύσεως δεικνύς, ἐπὶ τοῦ ὄρους Θαβὼρ μετεμορφώθης. Ἠλίας καὶ Μωσῆς συνελάλουν σοι· τοὺς τρεῖς τῶν μαθητῶν συνεκάλεσας· οἳ κατιδόντες Δέσποτα τὴν δόξαν σου, τῇ ἀστραπῇ σου ἐξέστησαν. Ὁ τότε τούτοις, τὸ φῶς σου λάμψας, φώτισον τὰς ψυχὰς ἡμῶν.

Μετὰ τὴν β΄. στιχ. Καθίσματα.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε

Τὸν δόλιον ᾔσχυνας καὶ παλαιὸν πτερνιστήν, νεκρώσας τὸν δράκοντα τῇ σῇ θερμῇ προσευχῇ, Πατέρων



ἀγλάϊσμα· σὺ γὰρ τοῖς ἐν τῇ Κρήτῃ, ἀρρωγὸς ἀνεδείχθης, καὶ τοῖς ἐνοχλουμένοις λυτρωτὴς καὶ προστάτης· διὸ καὶ ἑορτάζομεν νῦν, Μύρων τὴν μνήμην σου.

Δόξα ἦχος πλ. δ΄. Τὴν σοφίαν καὶ Λόγον.

Μεταναστὴς γενόμενος ἀφ' ἡμῶν, ἐκληρώσω σὺ πάτερ πραέων γῆν, καὶ κόσμου τὸν τάραχον τρικυμίας καὶ ζάλην τε, ἐκφυγὼν νῦν μετέστης, λιμένα πρὸς εὔδιον, καὶ γαλήνην εἰρήνης, Χριστός σοι δεδώρηται· χαίρων τοίνυν τρύφα, Μύρων ταύτης ἀλήκτως, καὶ δόξαν ἀκήρατον, ἣν ἐκτήσω ἀπόλαυε, σὺν ἀγγέλοις γηθόμενος· Χριστῷ τε προσφωνῶν ἐν χαρᾷ, μετὰ πόθου Κύριε ἠγάπησα, ἰδεῖν σου κάλλος προσώπου, τὸ ἄληκτον Δέσποτα.

Καὶ νῦν, τῆς Ἑορτῆς ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ

Ἐπὶ τὸ ὄρος τὸ Θαβώρ, μετεμορφώθης Ἰησοῦ, καὶ νεφέλη φωτεινή, ἐφηπλωμένη ὡς σκηνή, τοὺς Ἀποστόλους τῆς δόξης σου κατεκάλυψεν. Ὅθεν καὶ εἰς γῆν ἐναπέβλεπον, μὴ φέροντες ὁρᾷν τὴν λαμπρότητα, τῆς ἀπροσίτου δόξης τοῦ προσώπου σου, ἄναρχε Σῶτερ Χριστὲ ὁ Θεός· ὁ τότε τούτοις, τὸ φῶς σου λάμψας, φώτισον τὰς ψυχὰς ἡμῶν.

Μετὰ τὸν πολυέλεον Καθίσματα

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἐλαμπρύνθης χάριτι καὶ ἀληθείᾳ, τῶν Κρητῶν συστήματα, καταπλουτίσας ἀληθῶς, τοῖς θαυμασίοις σου Ἅγιε, θαυματοβρῦτα, Μύρων πανόλβιε.

Δόξα ὁ αὐτός

Μυριπνόοις ᾄσμασι καὶ ὑμνῳδίαις, συνελθόντες στέψωμεν, τὸν Ἱεράρχην ὦ πιστοί, Μύρωνα πάντες τὸν ἔνδοξον, λύσιν διδόντα, παντοίων κακώσεων.

ΕΠΑΜΕΙΝΩΝΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΑΥΡΟΥ

www.tezaurliturgic.ro

Καὶ νῦν τῆς Ἑορτῆς. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὁ ἀνελθὼν σὺν μαθηταῖς ἐν τῷ ὄρει, καὶ ἐν τῇ δόξῃ τοῦ Πατρὸς ἀπαστράψας, σὺν Μωϋσῇ Ἠλίας σοι παρίστανται· νόμος καὶ προφῆται γάρ, ὡς Θεῷ λειτουργοῦσιν· ᾧ καὶ τὴν υἱότητα, τὴν φυσικὴν ὁ γεννήτωρ, ὁμολογῶν ἐκάλεσεν υἱόν· ὃν ἀνυμνοῦμεν, σὺν σοὶ καὶ τῷ Πνεύματι.

Οἱ ἀναβαθμοί. Προκείμενον

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ.

Τό, Πᾶσα πνοή. Εὐαγγέλιον. Ζήτει τὴν 13 Νοεμβρίου

Ὁ Ν'. Δόξα Ταῖς τοῦ Ἱεράρχου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου

Στίχ. Ἐλέησόν με ὁ Θεός. Καὶ τὸ ἰδιόμελον. ἦχος πλ. β'.

Μύρων σεβάσμιε, ἡ μυροθήκη τῶν λειψάνων σου τὴν Κρήτην πολιουχεῖ, ἐν ᾗ καὶ δράκοντα ἀπελίθωσας, καὶ τοὺς τὴν σὴν ἅλωνα συλοῦντας, συμπαθείᾳ ψυχῆς καὶ γνώμης ἀκεραιότητι συνεχώρησας, καὶ οἰκείαις σου χερσὶ τοῖς αὐτῶν ὤμοις παρέδωκας· καὶ αὖθις, ἐξ ἐπιδρομῆς βαρβάρων τοὺς σοὺς ἱκέτας ἐλύτρωσας, καὶ δεινὴν ὀφθαλμίαν διέλυσας, καὶ τὴν ὑπὸ τοῦ μυσαροῦ πνεύματος ἐνοχλουμένην νεάνιδα ἠλευθέρωσας. Διὸ πρόστηθι ἀεί, τῇ ἀοράτῳ σου ἐπιστασίᾳ, συμπαθῶν ἡμῖν τὰ ἐγκλήματα.

Εἶτα τό. Σῶσον ὁ Θεὸς τὸν λαόν σου κ. τ. λ.

Ὁ κανὼν τῆς Ἑορτῆς καὶ τοῦ Ἁγίου

Κανὼν τῆς Ἑορτῆς. ᾠδὴ α'. ἦχος δ'.

» Χοροὶ Ἰσραήλ, ἀνίκμοις ποσί, πόντον ἐρυθρὸν καὶ » ὑγρὸν βυθὸν διελάσαντες· ἀναβάτας τριστάτας, δυσμε- » νεῖς ὁρῶντες ἐν αὐτῷ ὑποβρυχίους, ἐν ἀγαλλιάσει » ἔμελπον. Ἄσωμεν τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.



Ῥήματα ζωῆς, τοῖς φίλοις Χριστός, καὶ περὶ τῆς θείας δημηγορῶν βασιλείας ἔφη. Ἐν ἐμοὶ τὸν Πατέρα ἐπιγνώσεσθε, φωτὶ ὡς ἐξαστράπτω ἀπροσίτῳ, ἐν ἀγαλλιάσει μέλποντες. Ἄσωμεν τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Ἰσχὺν τῶν ἐθνῶν κατέδεσθε, φίλοι μαθηταί, θαυμασθήσεσθε δὲ τῷ πλούτῳ αὐτῶν, ὅτι δόξης πληροῦσθε, ὡς ὀφθήσομαι λαμπρότερος, ἡλίου ἐξαστράπτων, ἐν ἀγαλλιάσει μέλποντες, Ἄσωμεν τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Σήμερον Χριστός, ἐν ὄρει Θαβώρ, λάμψας ἀμυδρῶς, θεϊκῆς αὐγῆς ὡς ὑπέσχετο, μαθηταῖς παρεγύμνου χαρακτῆρα· σελασφόρου δὲ πλησθέντες, θείας αἴγλης, ἐν ἀγαλλιάσει ἔμελπον, Ἄσωμεν τῷ Θεῷ ἡμῶν ὅτι δεδόξασται.

Κανὼν τοῦ Ἁγίου.

Ποίημα Μελετίου Ἀρχιεπισκόπου Κρήτης.

Ὠδὴ α'. ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας,

Μύρωνα τῆς Κρήτης Ἱερουργόν, αἰνεῖν ἀρχομένῳ δώρησαί μοι Λόγε Θεοῦ, λόγον, ἵνα τούτου ἐπαξίως, τὰ τῶν θαυμάτων μέλψω τοῖς ᾄσμασι.

Ναὸς χρηματίσας τοῦ Παντουργοῦ, τοὺς ἐν τῷ τεμένει, τῷ σεπτῷ σου Μύρων σοφέ, ἀνυμνολογοῦντας ταῖς εὐχαῖς σου, κατοικητήρια δεῖξον τοῦ Πνεύματος.

Ταῖς θείαις σου Θεόφρον Μύρων σοφέ, ἀρεταῖς ἐκλάμπων ἠξιώθης ἐπιτυχεῖν, τῆς ἐπουρανίου βασιλείας, ὑπὲρ τῆς Κρήτης πρεσβεύων θεόληπτε.

Θεοτοκίον.

Τάξεις σε ἀγγέλων καὶ τῶν βροτῶν, ἀνύμφευτε Μῆτερ, εὐφημοῦσιν ἀνελλιπῶς, τὸν Κτίστην γὰρ τούτων ὥσπερ βρέφος, ἐν ταῖς ἀγκάλαις σου ἐβάστασας.

ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑ...

www.tezaurliturgic.ro



Ὠδὴ γ'. ὁ Εἱρμός.

» Τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες περιε-
» ζώσαντο δύναμιν· διὰ τοῦτο ἐστερεώθη, ἐν Κυρίῳ ἡ καρ-
» δία μου.

Ὅλον τὸν Ἀδὰμ φορέσας Χριστέ, τὴν ἀμαυρωθεῖσαν ἀμείψας ἐλάμπρυνας, πάλαι φύσιν, καὶ ἀλλοιώσει τῆς μορφῆς σου ἐθεούργησας.

Στύλῳ πυριμόρφῳ καὶ νεφέλῃ πάλαι, ἐν τῇ ἐρήμῳ τὸν Ἰσραὴλ ἄγων σήμερον, ἐν τῷ ὄρει Θαβὼρ ἀρρήτως, ἐν φωτὶ Χριστὸς ἐξέλαμψε.

Τοῦ Ἁγίου Σὺ εἶ τὸ στερέωμα

Δὸς ἡμῖν βοήθειαν τοῖς κινδυνεύουσι πάντοτε, ταῖς κοσμικαῖς, Μύρων, ἐπηρείαις, καὶ δειναῖς περιστάσεσι.

Ὄλβιος γενόμενος, καὶ φωτισμοῦ παντὸς ἔμπλεως, πάντας πλουτεῖν, τὴν δικαιοσύνην, θεῖε Μύρων ἱκέτευε.

Πῦρ τὸ τῆς θεότητος, ἐνστερνισάμενος Ἅγιε, καὶ καθαρθεὶς ἄνθραξ θεῖος Μύρων, ἐπὶ γῆς ἐχρημάτισας.

Θεοτοκίον

Δὸς ἡμῖν βοήθειαν, τοῖς κινδυνεύουσι Πάναγνε, τὰς προσβολὰς ἀποκρουομένη, τῶν δεινῶν περιστάσεων.

Κάθισμα ἦχος δ'. Ἐπεφάνης σήμερον

Τῶν Κρητῶν προΐστασαι, σκέπων φρουρῶν τούτους Μύρων, καὶ ἐκ πάσης θλίψεως ἀπολυτρούμενος σοφέ, Ἱεραρχῶν ὡραιότατον, κλέος καὶ Κρήτης, τὸ μέγα προπύργιον

Δόξα

Ἐν τῇ Κρήτῃ ἤστραψας, ὡς ἑωσφόρος, καὶ αὐτὴν ἐλάμπρυνας, ταῖς τῶν θαυμάτων σου βολαῖς, θαυματοβρῦτα πατὴρ ἡμῶν· Μύρων παμμάκαρ, Κρητῶν σεμνολόγημα.



Καὶ νῦν τῆς Ἑορτῆς.

Ἐπὶ τὸ ὄρος τὸ Θαβώρ, μετεμορφώθης ὁ Θεός, ἀναμέσον Ἡλιοῦ, καὶ Μωϋσέως τῶν σοφῶν, σὺν Ἰακώβῳ καὶ Πέτρῳ καὶ Ἰωάννῃ. Ὁ Πέτρος δὲ συνών, ταῦτάσοι ἔλεγεν· καλὸν ὧδέ ἐστι, ποιῆσαι τρεῖς σκηνάς, μίαν Μωσῇ καὶ μίαν Ἠλίᾳ, καὶ μίαν σοὶ τῷ Δεσπότῃ Χριστῷ· ὁ τότε τούτοις, τὸ φῶς σου λάμψας, φώτισον τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ δ'. ὁ Εἱρμός

Εἰσακήκοα τὴν ἔνδοξον οἰκονομίαν σου Χριστὲ ὁ Θεός, ὅτι ἐτέχθης ἐκ Παρθένου, ἵνα ἐκ πλάνης ῥύσῃ τοὺς βοῶντάς σοι· δόξα τῇ δυνάμει σου Κύριε.

Νόμον ἐν Σινᾷ τῷ γράμματι διατυπούμενος, Χριστὲ ὁ Θεός, ἐν τῇ νεφέλῃ πυρὶ καὶ γνόφῳ, καὶ ἐν θυέλλῃ, ὤφθης ἐποχούμενος· δόξα τῇ δυνάμει σου Κύριε.

Ἵνα πιστώσῃς τὴν ἔνδοξον οἰκονομίαν σου, Χριστὲ ὁ Θεός, ὡς προϋπάρχων πρὸ τῶν αἰώνων, καὶ ὁ αὐτὸς ἐν νέφει τὴν ἐπίβασιν θείς, ἐν τῷ Θαβὼρ ἀρρήτως ἐξέλαμψας.

Συλλαλοῦντες παρειστήκεισαν δουλοπρεπῶς σοι τῷ Δεσπότῃ Χριστῷ. οἷς ἐν πυρὸς ἀτμίδι καὶ γνόφῳ, καὶ λεπτοτάτῃ αὔρᾳ προσωμίλησας· δόξα τῇ δυνάμει σου Κύριε.

Κατεμήνυον τὴν ἔξοδον, τὴν ἐν Σταυρῷ σου ἐν Θαβὼρ παρόντες, ὁ ἐν πυρί σε καὶ βάτῳ πάλαι προκατιδὼν Μωϋσῆς, καὶ ὁ μετάρσιος δίφρῳ, ἐν πυρίνῳ Ἠλίας Χριστέ.

Τοῦ Ἁγίου. Εἰσακήκοα Κύριε.

Ἡρετίσω θεόληπτε, εὐαγγελικοῖς προστάγμασιν ἕπεσθαι, τὸν Σταυρόν σου γὰρ ἀράμενος, τῷ Δεσπότῃ, χαίρων ἠκολούθησας.

www.tezaurliturgic.ro



Νόμους θείους παρέβλεψα, καὶ παρανομίαις πάσαις συνέζησα, σπεῦσον Ἅγιε, βοήθει μοι, τῷ κατεγνωσμένῳ, Μύρων ἔνδοξε.

Ἐν ἡμέρᾳ τῆς κρίσεως, ὅταν παραστῶμεν Κυρίῳ κρίνεσθαι, βοηθὸς ἡμῖν γενήθητι, τοῖς κατεγνωσμένοις, Μύρων ἔνδοξε.

Θεοτοκίον.

Ἡ Θεὸν σωματώσασα, τὸν ἀνερμηνεύτως, ἐν σοὶ οἰκήσαντα· τοῦτον αἴτησαι Πανάμωμε, αἰωνίου δόξης ἀξιῶσαί με.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

Ὁ τοῦ φωτὸς διατμήξας, τὸ πρωτόγονον χάος, ὡς ἐν φωτὶ τὰ ἔργα ὑμνῇ σε Χριστέ, τὸν δημιουργὸν, ἐν τῷ φωτί σου, τὰς ὁδοὺς ἡμῶν εὔθυνον.

Προσενωπίῳ σοι ὧραι ὑπεκλίθησαν· φῶς γὰρ καὶ πρὸ ποδῶν, ὑψίδρομον σέλας Χριστέ, ἥλιος εἶχε, μορφὴν βροτείαν, ὡς ἀμεῖψαι εὐδόκησας.

Ἰδοὺ Σωτὴρ ἀνεβόων, Μωϋσῆς καὶ Ἠλίας, τῶν μαθητῶν ἐν ὄρει ἁγίῳ Θαβὼρ, ἐνηχουμένων, Χριστός, ὃν πάλαι προηγγείλαμεν ὄντα Θεόν.

Ἡ ἀναλλοίωτος φύσις, τῇ βροτείᾳ μιχθεῖσα, τῆς ἐμφεροῦς ἀΰλου θεότητος, φῶς παραγυμνοῦσα, τοῖς ἀποστόλοις ἀπορρήτως ἐξέλαμψε.

Σὲ τὸ αἴδιον φέγγος, ἐν πατρῴᾳ τῇ δόξῃ, οἱ μαθηταί, ὡς εἶδον ἐκλάμψαν Χριστέ, σοὶ ἀνεβόων· ἐν τῷ φωτί σου τὰς ὁδοὺς ἡμῶν εὔθυνον.

Τοῦ Ἁγίου. Ἵνα τί με ἀπώσω.

Ποία γλῶσσα βροτεία, σοῦ τὴν ὑπερθαύμαστον, Μύρων ἀοίδιμε, βιωτὴν ἐξείποι, καὶ τὴν ἄϋλον καὶ μακαρίαν ζωήν, ἥνπερ παραδόξως, ὥσπερ ἄσαρκος διῆλθες, πόθῳ τιτρωσκόμενος τῷ τοῦ Κυρίου σου.



Νήσου Κρήτης φωστῆρα, πάντες σὲ γινώσκομεν, φωτοειδέστατον, καὶ ψυχῶν σωτῆρα, ἀφαρπάζοντα ταύτας τοῦ φάρυγγος, τοῦ θανατηφόρου, καὶ πρὸς ζωὴν καθοδηγοῦντα, τὴν αἰώνιον, Μύρων θεόληπτε.

Συνειδότα τὰ πλήθη, ῥεῖθρον ποταμοῦ παρὰ σοῦ κωλυθὲν Ἅγιε, τὴν φωνὴν ἐπῆραν, μεγαλύναντα Χριστοῦ τὴν δύναμιν, σὲ δὲ θεῖε Μύρων, ὡς αὐτουργὸν τῶν θαυμασίων, εὐφημοῦντες ᾠδαῖς ἐμακάριζον.

Θεοτοκίον

Ὅλον τέτοκας Κόρη, τὸ φῶς τὸ αἰώνιον, τοῖς ἀνυμνοῦσί σε, τὸν Χριστὸν ἀσπόρως, σωματώσασα, ὃν ἐξιλέωσαι, τοῦ σωθῆναι πάντας, ἐκ πειρασμῶν τοῦ ἀλλοτρίου, Παναγία παρθένε θεόνυμφε.

Ὠδὴ ϛ΄. Ὁ Εἱρμός.

Ἐν τῷ θλίβεσθαί με, ἐβόησα πρὸς Κύριον, καὶ ἐπήκουσέ μου, ὁ Θεὸς τῆς σωτηρίας μου.

Λαμπηδόνος πλέον, ἡλίου φῶς τρανότερον, ἐν Θαβὼρ ἐκλάμψας, ὁ Χριστὸς ἡμᾶς ἐφώτισεν.

Ἀνελθὼν ἐν ὄρει, Θαβὼρ μετεμορφώθης Χριστὲ, καὶ τὴν πλάνην πᾶσαν, ἀμαυρώσας, φῶς ἐξέλαμψας.

Σὲ Θεὸν ἐπέγνων, ἔνδοξοι οἱ Ἀπόστολοι, ἐν Θαβὼρ Χριστὲ δὲ, ἐκπλαγέντες γόνυ ἔκλιναν.

Τοῦ Ἁγίου. Ἱλάσθητί μοι.

Ἐξέλαμψας ἀρεταῖς, καὶ διδαχαῖς διὰ βίου σου, ἐξήστραψας δὲ λαμπρῶς, τοῖς θαύμασιν Ἅγιε Μύρων Ἱεράρχα, Κρήτης ὁ προστάτης, καὶ τῶν πιστῶν θερμὴ ἀντίληψις.

Ἡδὺς εὐθὺς καὶ χρηστὸς, ἐπιεικής τε καὶ μέτριος,

www.tezaurliturgic.ro



ῶ Μύρων καὶ προσηνής, ἐλεήμων πέφυκας, συμπαθὴς καὶ εὔσπλαγχνος, ἱλαρὸς τοῖς τρόποις, χριστομίμητος τοῖς ἤθεσι.

Τοῦ Τρίτωνος ποταμοῦ, πλημμύραν, Μύρων συνέστειλας, καὶ τοῖς τὸν σῖτον τὸν σόν, συλοῦσιν ἐπέδωκας, αὐταῖς χερσὶν Ἅγιε, συγχωρήσας τούτοις, τὸ ἐγχείρημα πρᾳότατε.

Θεοτοκίον

Ῥυσθείημεν τῶν δεινῶν, πταισμάτων ταῖς ἱκεσίαις σου, θεογεννῆτορ Ἁγνή, καὶ τύχοιμεν πάναγνε, τῆς θείας ἐλλάμψεως, τοῦ ἐκ σοῦ ἀφράστως, σαρκωθέντος Υἱοῦ τοῦ Θεοῦ.

Κοντάκιον ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Τῇ ὑπερμάχῳ, καὶ ἐνθέρμῳ προστασίᾳ σου, οἱ Κρῆτες Πάτερ, εὐλαβῶς προσκαταφεύγομεν, ἀνυμνοῦντές σε θεόφρον καὶ δυσωποῦντες. Ἀλλ' ὡς ἔχων παῤῥησίαν πρὸς τὸν Κύριον, ἐκ κινδύνων ἡμᾶς, παντοίων ἀπολύτρωσαι· Ἵνα κράζωμεν, χαῖρε Μύρων τρισόλβιε.

Ὁ οἶκος

Ἄγγελος ἀνεφάνης ἐπὶ γῆς σαρκοφόρος, τῇ πράξει καὶ μορφῇ Ἱεράρχα! (ἐκ γ'.) Ὁ γὰρ τῶν ὅλων ποιητὴς Ἅγιε, ἀνέδειξέ σε δοχεῖον ἔντιμον, ἡγίασεν, ἐτίμησεν, ἐφώτισεν ἡμᾶς βοᾶν σοι ταῦτα· Χαῖρε, ὁ στύλος τῆς Ἐκκλησίας· χαῖρε, ὁ λύχνος τῆς εὐσεβείας· χαῖρε, ὁ τῆς Κρήτης ποιμὴν ἀνεξίκακος· χαῖρε, τῆς Κνωσοῦ ὁ προστάτης καὶ πρόμαχος· χαῖρε· σὺ γὰρ διεκώλυσας τὴν ὁρμὴν τοῦ ποταμοῦ· χαῖρε, ὅτι καὶ διέλυσας τὰς παγίδας τοῦ ἐχθροῦ· χαῖρε ὅτι ὑπάρχεις τῶν πατέρων τὸ κλέος· χαῖρε, ὅτι ἐφάνης τῶν Κρητῶν μέγα εὖχος· χαῖρε, δι' οὗ ὁ δράκων νενέκρωται· χαῖρε, δι' οὗ τὸ ὕδωρ ἐκκέχυται· χαῖρε, χαρὰ πάντων τῶν θλιβομένων· χαῖρε, φυγὴ δραστικὴ τῶν δαιμόνων· χαῖρε Μύρων τρισόλβιε.



## Τῇ ὀγδόῃ Αὐγούστου μνήμην ἐπιτελοῦμεν τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Μύρωνος ἐπισκόπου Κνωσοῦ Κρήτης τοῦ θαυματουργοῦ.

» Μύρων ὁ θεῖος ἀρετῆς μύρου πνέων,
» Εὐωδίας πρόσεισιν ὀσμὴ Κυρίῳ.

Οὗτος ἐγεννήθη εἰς μίαν πόλιν τῆς Κρήτης Αὐρακίαν ὀνομαζομένην, καὶ εὑρισκομένην κοντὰ εἰς τὴν Κνωσόν, ὁ ὁποῖος ἐστόλιζε τὸ γένος του μὲ τὴν κατὰ Θεὸν εὐσέβειαν, ὅταν δὲ ἔφθασεν εἰς ἡλικίαν, συνεζεύχθη γυναῖκα νόμιμον, καὶ εἰργάζετο τὴν γῆν, ἀπὸ δὲ τὴν καρποφορίαν καὶ ἐσοδίαν τῶν γεννημάτων του, ἐλεοῦσε τοὺς πτωχούς. Ὅσον δὲ αὐτὸς ἐλεοῦσε, τόσον καὶ οἱ καρποὶ τῶν ἀγρῶν του ηὔξανον. Ἡ συμπάθεια δὲ καὶ εὐσπλαγχνία, ὅπου ὁ Ἅγιος οὗτος εἶχεν εἰς τοὺς πτωχούς, ἦτον ὑπὲρ ἄνθρωπον· διότι λέγουσιν ὅτι μίαν φορὰν συνέλαβεν ὁ Ἅγιος εἰς τὸ ἁλῶνι δέκα ἀνθρώπους κλέπτοντας τὸ σιτάρι, οἱ ὁποῖοι ἐγέμισαν τὰ σακκία των ἐκ τοῦ σιταρίου, ἀπὸ τὸ πολὺ δὲ γέμωσμα καὶ βάρος τῶν σακκίων, καὶ ἀπὸ τὴν πλεονεξίαν ὅπου εἶχον διὰ νὰ πάρουν περισσότερον, δὲν ἠδύναντο πλέον οὔτε νὰ σηκώσουν τὰ σακκία, ἀλλ' οὔτε πάλιν ἤθελον νὰ τὰ ἀδειάσουν ὀλίγον. Τούτους λοιπὸν συλλαβὼν ὁ Ἅγιος, ἀντὶ νὰ τοὺς παιδεύσῃ διὰ τὴν κλοπήν, αὐτὸς μᾶλλον τοὺς ἐσυμπόνεσεν ὁ ἀοίδιμος, καὶ μὲ τὰς ἰδίας του χεῖρας ἐβοήθησεν ἕκαστον, καὶ ἐφορτώθησαν τὰ σακκία εἰς

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑ...

www.tezaurliturgic.ro

τοὺς ὤμους των· καὶ ὄχι μόνον τοῦτο, ἀλλὰ καὶ παρήγγειλεν εἰς αὐτοὺς νὰ μὴ φανερώσουν τὸ πρᾶγμα εἰς κανένα, διὰ νὰ μὴ χάσῃ τὸν μισθὸν τῆς ἐλεημοσύνης καὶ ἀνεξικακίας του.

Διὰ τὰς ἀρετάς του λοιπὸν ταύτας, ἐχειροτονήθη Ἱερεὺς εἰς τὴν Ἐκκλησίαν τοῦ Θεοῦ. Ἀφοῦ δὲ ἔπαυσεν ὁ κατὰ τῶν Χριστιανῶν διωγμός, ἀνέβη εἰς τὸν θρόνον τῆς ἐπισκοπῆς Κνωσοῦ Κρήτης, Ἀρχιερεὺς γενόμενος. Ὅθεν πολλὰς δυνάμεις καὶ θαύματα ἐποίησεν, ἐδίωξε δράκοντα, ὁ ὁποῖος ἔβλαπτε τὴν χώραν ἐκείνην, εἰς τὴν ὁποίαν ἐφώλευεν· ἐμπόδισε τὸ τρέξιμον ἑνὸς ποταμοῦ, ὁ ὁποῖος ὠνομάζετο Τρίτων, ἐπειδὴ ὅταν ἔμελλεν ὁ Ἅγιος νὰ περάσῃ ἀπὸ αὐτόν, ἐπλημμύρησεν. ὁ ποταμὸς δὲ αὐτὸς ἐμποδισθεὶς ἀπὸ τὸ νὰ τρέχῃ μὲ τὴν προσταγὴν τοῦ Ἁγίου, δὲν ἔτρεξε πλέον εἰς τὸ ἔμπροσθεν, καθὼς πρότερον ἔτρεχεν, ἀλλὰ ἐστάθη οὕτω ἐμποδισμένος, ἕως ὅτου ἐγύρισεν ὁ Ἅγιος καὶ ἐπέρασεν ἀπὸ αὐτόν. Ἀφοῦ δὲ ὁ Ἅγιος ἐπῆγεν εἰς τὸν οἶκόν του, ἔστειλε τὸ ῥαβδί του μὲ ἀνθρώπους τινάς, οἱ ὁποῖοι ταράξαντες τὸ νερὸν τοῦ ποταμοῦ μὲ τὸ ῥαβδί τοῦ Ἁγίου, ἔκαμαν τὸν ποταμὸν νὰ τρέξῃ πάλιν εἰς τὴν φυσικήν του πορείαν. Ταῦτα καὶ ἄλλα περισσότερα θαύματα ποιήσας ὁ μακάριος Μύρων, καὶ τὸ ἐπίλοιπον τῆς ζωῆς διάστημα τῆς ζωῆς διαπεράσας θεοφιλῶς καὶ ὁσίως, πανηγυρίσας λαμπρῶς εἰς τὰς ἑορτὰς τῶν Ἁγίων μαρτύρων, πρὸς Κύριον ἐξεδήμησεν, ἑκατοντούτης ἤδη γέρων ὑπάρχων.

Ταῖς τοῦ σοῦ Ἱεράρχου Μύρωνος πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.



Ὠδὴ ζ'. Ὁ Εἱρμός.

Ἀβραμιαῖοί ποτε, ἐν Βαβυλῶνι παῖδες, καμίνου φλόγα κατεπάτησαν, καὶ ὑμνοῦντες ἔψαλλον· ὁ τῶν πατέρων, Θεὸς εὐλογητὸς εἶ.

Περιχυθέντες φωτί, τῆς ἀπροσίτου δόξης, Θαβὼρ ἐν ὄρει, οἱ Ἀπόστολοι, Χριστὲ ἀνεβόησαν· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Λαίλαπι θείας ἠχῆς, καὶ δροσοβόλῳ νεφέλῃ Χριστέ, καὶ αἴγλῃ σου ἡδόμενοι, οἱ ἀπόστολοι ἔψαλλον· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ἐν ἀπορρήτῳ φωτί, ὡς σὲ κατεῖδε Πέτρος, Θαβὼρ ἐν ὄρει ἐξαστράψαντα, Χριστὲ ἀνεβόησεν· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Τοῦ Ἁγίου, Παῖδες Ἑβραίων.

Γνώμην φιλόθεον ἐκτήσω, μετὰ σώματος ἀγγέλους ἐμιμήσω, ἀγρυπνῶν εὐσεβῶς καὶ ψάλλων ἀνενδότως· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ὅλος ὁ πόθος σου, ὦ Μύρων, ἀνατέταται πρὸς μόνον τὸν Δεσπότην, ὁλοτρόπως αὐτὸν ὑμνεῖν τε καὶ κραυγάζειν· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ἄστρον πολύφωτον ἐφάνης, ἐν τῇ Κρήτῃ σοφέ, ὦ Μύρων Ἱεράρχα, τὰς ψυχὰς τῶν Κρητῶν φωτίζων τοῦ κραυγάζειν· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Θεοτοκίον

Ῥῦσαι δεσμῶν τῆς ἁμαρτίας, τὴν ἀθλίαν μου ψυχὴν Θεογεννῆτορ, καὶ ἀγάπῃ Θεοῦ ὑπόζευξον τελείᾳ, ἵνα πιστῶς δοξάζω σε, καὶ ὑμνῶ εἰς τοὺς αἰῶνας.

Ὠδὴ η'. Ὁ Εἱρμός.

Οἱ ἐν Βαβυλῶνι παῖδες, τῷ θείῳ πυρπολούμενοι ζήλῳ, τυράννου καὶ φλογὸς ἀπειλήν, ἀνδρείως κατε-

www.tezaurliturgic.ro

πάτησαν, καὶ μέσον πυρὸς ἐμβληθέντες, δροσιζόμενοι ἔψαλλον. Εὐλογεῖτε πάντα τὰ ἔργα, Κυρίου τὸν Κύριον.

Ἐν τῇ ἀπροσίτῳ δόξῃ, κατ' ὄρος ἐκφανθὲν ἀπορρήτως, Θαβὼρ τὸ ἄσχετον καὶ ἄδυτον φῶς, τοῦ Πατρὸς τὸ ἀπαύγασμα, τὴν κτίσιν φαιδρῦναν, τοὺς ἀνθρώπους ἐθέωσε μέλποντας· Εὐλογεῖτε πάντα τὰ ἔργα, Κυρίου τὸν Κύριον.

Ἱεροπρεπῶς ἑστῶτες, Μωσῆς τε καὶ Ἠλίας ἐν ὄρει Θαβὼρ, τῆς θείας χαρακτῆρα, τρανῶς ὑποστάσεως βλέποντες, Χριστὸν ἐν πατρῴᾳ ἐξαστράψαντα δόξῃ ἀνέμελπον· Εὐλογεῖτε πάντα τὰ ἔργα, Κυρίου τὸν Κύριον.

Διὰ τῆς ἐν γνόφῳ θείας ὀμφῆς, τὸ πρόσωπόν ποτε ἐδοξάσθη Μωσῆς· Χριστὸς δὲ ὡς ἱμάτιον, φῶς καὶ δόξαν ἀναβάλλεται· φωτὸς αὐτουργὸς γὰρ πεφυκὼς, καταυγάζει τοὺς μέλποντας· Εὐλογεῖτε πάντα τὰ ἔργα, Κυρίου τὸν Κύριον.

Ἐκ φωτογενοῦς νεφέλης, Χριστὸν οἱ μαθηταὶ ἀμπεχόμενον, ὁρῶντες ἐν Θαβὼρ, καὶ πρηνεῖς ἐπὶ γῆς κατανεύσαντες, τὸν νοῦν ἐλλαμφθέντες, σὺν Πατρὶ τοῦτον ὕμνουν καὶ Πνεύματι. Εὐλογεῖτε πάντατὰ ἔργα, Κυρίου τὸν Κύριον.

Τοῦ Ἁγίου. Τὸν βασιλέα τῶν Οὐρανῶν.

Τὴν τῶν ἀγγέλων ἐπὶ τῆς γῆς πολιτείαν, μετελθὼν, ὦ Μύρων, νῦν σὺν τούτοις, ἐν ἐπουρανίοις αὐλίζῃ εἰς αἰῶνας.

Τὴν τῶν θαυμάτων σοι δωρεὰν καὶ τὴν χάριν, ἐπαξίως δεδώρηται ὁ Δεσπότης, ὦ θεῖε Μύρων, ἱερουργὲ τρισμάκαρ.

Ὁ συναΐδιος τῷ Πατρὶ Θεὸς Λόγος, μύστην σε καὶ κήρυκα, ὦ Μύρων, ἔδειξε τῆς θείας αὐτοῦ οἰκονομίας.



Θεοτοκίον.

Ὑπερφυῶς τὸν δημιουργὸν καὶ σωτῆρα, Θεὸν Λόγον τέτοκας Παρθένε· ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Ὁ τόκος σου ἄφθορος ἐδείχθη· Θεὸς ἐκ λαγόνων σου προῆλθε, σαρκοφόρος, ὡς ὤφθη ἐπὶ γῆς, καὶ τοῖς ἀνθρώποις συνανεστράφη· σὲ Θεοτόκε, διὸ πάντες μεγαλύνομεν.

Σύντρομοι καινῇ φωτοχυσίᾳ, ἀθρόως οἱ μαθηταὶ ἐλλαμφθέντες, πρὸς ἀλλήλους ἑώρων, καὶ πρηνεῖς εἰς γῆν καταπεσόντες, σοὶ τῷ δεσπότῃ τῶν ἁπάντων προσεκύνησαν.

Ἦχος ἐκ νεφέλης ἀνεπέμπετο, θεόκτυπος βεβαιῶν τὸ θαῦμα· ὁ Πατὴρ γὰρ τῶν φώτων, οὗτός ἐστιν υἱὸς ὁ ἀγαπητός μου, τοῖς Ἀποστόλοις ἀνεβόα· οὗ ἀκούετε.

Καινὰ κατιδόντες καὶ παράδοξα, φωνῆς πατρικῆς ἐνωτισθέντες, ἐν Θαβὼρ οἱ τοῦ Λόγου ὑπηρέται, ἐκμαγεῖον τοῦ ἀρχετύπου, οὗτος ὑπάρχει, ἀνεβόων, ὁ Σωτὴρ ἡμῶν.

Εἰκὼν ἀπαράλλακτε τοῦ ὄντος, ἀκίνητε σφραγὶς ἀναλλοίωτε, υἱὲ Λόγε, σοφία καὶ βραχίων, δεξιὰ Ὑψίστου σθένος, σὲ ἀνυμνοῦμεν, σὺν Πατρί τε καὶ τῷ Πνεύματι.

Τοῦ Ἁγίου. Κυρίως Θεοτόκον.

Συνήφθης Ἀσωμάτων, Μύρων καὶ Ἁγίων, καὶ τῶν δικαίων χορείαις γηθόμενος, μεθ' ὧν δυσώπει σωθῆναι τοὺς σὲ γεραίροντας.

Τῷ θρόνῳ τοῦ Δεσπότου, Μύρων ὡς θεράπων, τούτου ἀεὶ παριστάμενος Ἅγιε, μὴ διαλίπῃς πρεσβεύειν ὑπὲρ τῆς ποίμνης σου.

www.tezaurliturgic.ro



Τοὺς πίστει ἐκτελοῦντας, ὅσιε, τὴν μνήμην, σοῦ τὴν σεπτὴν Μύρων ἱκέτευε, ἐκ τῶν σκανδάλων ῥυσθῆναι, τοῦ πολεμήτορος.

Θεοτοκίον

Ψαλμοῖς σε ἀνυμνοῦμεν Κεχαριτωμένη, καὶ ἀσιγήτως τὸ χαῖρε σοι κράζομεν· σὺ γὰρ ἐπήγασας πᾶσι τὴν ἀγαλλίασιν.

## Ἐξαποστειλάριον.

Γυναῖκες ἀκουτίσθητε.

Τοὺς πόθῳ ἑορτάζοντας, τὴν σὴν σεπτὴν πανήγυριν, ὦ Μύρων θαυματοβρῦτα, Ἱεραρχῶν ὡραιότης, πάσης νῦν βλάβης λύτρωσαι, καὶ νόσου καὶ κακώσεως, διδοὺς πταισμάτων ἄφεσιν, ὡς εἰληφὼς ἐξουσίαν, παρὰ Χριστοῦ τοῦ Σωτῆρος.

Ἕτερον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Μύρων Χριστοῦ Ἱεράρχα, θαυματουργὲ θεοφόρε, δυσώπει τοὺς σὲ τιμῶντας, ἐκ πειρασμῶν λυτρωθῆναι, ἐκ νόσου τε καὶ κινδύνων, ταῖς πρὸς Θεόν σου πρεσβείαις.

Τῆς Ἑορτῆς ὅμοιον.

Φῶς ἀναλλοίωτον Λόγε, φωτὸς Πατρὸς ἀγεννήτου, ἐν τῷ φανέντι φωτί σου, σήμερον ἐν Θαβωρίῳ, φῶς εἴδομεν τὸν Πατέρα, φῶς καὶ τὸ Πνεῦμα, φωταγωγοῦν πᾶσαν κτίσιν.

## Εἰς τοὺς Αἴνους

Ἱστῶμεν στίχ. δ'. καὶ ψάλλομεν τὰ παρόντα.

Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσι.

Προσευχὴν ἀδιάλειπτον, ἀγρυπνίαν ἐπίπονον, πίστιν ἀκατάγνωστον, βίον ἔνθεον, ὑπομονὴν καὶ ταπείνωσιν, ἐγκράτειαν σύντονον, καὶ κατάνυξιν ἀσκῶν, καὶ εὑρὼν χάριν ἔλεος, Μύρων ὅσιε, οὐρανόθεν θεόφρον θεραπεύεις, τῶν πιστῶς σοι προστρεχόντων, τὰς νόσους πάντων ἐν πνεύματι.

Μακαρίως ἐβίωσας, καὶ ἀφθόνου ἠξίωσας, τοὺς τοὺς ἐν Κρήτῃ πέλοντας, ἀντιλήψεως, καὶ ἐνεργείας θαυμάτων σου, ὦ Μύρων πανθαύμαστε, καὶ ἰάσεων πηγάς, τοῖς πιστῶς σοι προστρέχουσι, προσενήνοχας, ἐκ φθορᾶς καὶ κινδύνων πολυτρόπων, ἐκλυτρούμενος τρισμάκαρ, υἱοὺς φωτός τ' ἐργαζόμενος.

Ἐν ᾠδαῖς ἀνυμνήσωμεν, τὸν ἡμέτερον πρόεδρον, τὸν σεπτὸν θεράποντα, τοῦ Θεοῦ ἡμῶν, Ἱεραρχῶν τὸ θησαύρισμα, τὴν βάσιν τῆς πίστεως, καὶ τῆς Κρήτης καλλονήν, τῶν δαιμόνων ἀντίπαλον, καὶ συνόμιλον, τῶν Ἁγίων Ἀγγέλων καὶ τῆς ἄνω, βασιλείας κληρονόμον, Μύρωνα θεῖον θεόφρονες.

Φρυκτωρίαις τοῦ Πνεύματος, ἐλλαμφθεὶς τὴν διάνοιαν, ὡς ἀστὴρ πολύφωτος, ἀναδέδειξαι, καταλαμπρύνας συστήματα, Κρητῶν παναοίδιμε, θαυμασίοις φοβεροῖς, καὶ σημείοις ἑκάστοτε, παμμακάριστε, καὶ πρεσβεύεις, ὦ Μύρων τῷ Δεσπότῃ, ἐκ κινδύνων λυτρωθῆναι, τοὺς τὴν σὴν μνήμην γεραίροντας.

Δόξα. Ἦχος πλ. ά.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, χορεύσωμεν ἑόρτια, καὶ σκιρτήσωμεν ἀγαλλόμενοι, τῇ ἐτησίῳ πανηγύρει, τοῦ θεοφόρου Πατρός. Βασιλεῖς καὶ ἄρχοντες, συντρεχέτωσαν, καὶ τὸν θεοφόρον, κοσμείτωσαν ἐν ὕμνοις, ὡς θαυμάτων βλύσαντα, ποταμοὺς ὑπερμεγέθεις, καλλιρρόους τῆς χάριτος. Ποιμένες καὶ διδάσκαλοι, τὸν τοῦ καλοῦ ποιμένος ὁμόζηλον ποιμένα, συνελθόντες εὐφημήσωμεν· οἱ ἐν νόσοις τὸν ἰατρόν, οἱ ἐν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ...

www.tezaurliturgic.ro

κινδύνοις τὸν ῥύστην, οἱ πένητες τὸν θησαυρόν, οἱ ἁμαρτωλοὶ τὸν προστάτην, οἱ ἐν θλίψεσι τὴν παραμυθίαν· τὸν συνοδίτην οἱ ὁδοιπόροι, οἱ ἐν Κρήτῃ τὸν ποιμενάρχην, οἱ πάντες τὸν τὰς αἰτήσεις πάντων θερμῶς ἐπακούοντα, μέγιστον Ἱεράρχην, ἐγκωμιάζοντες, οὕτως εἴπωμεν. Ὦ Μύρων πολυθαύμαστε! πρόφθασον, ἐξελοῦ ἡμᾶς, ἐκ πολυτρόπων κινδύνων, καὶ Κρήτην περίσωζε ταῖς ἱκεσίαις σου.

*Καὶ νῦν*. Τῆς Ἑορτῆς ὁ αὐτός.

Δεῦτε ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ ἡμῶν, καὶ θεασώμεθα τὴν δόξαν τῆς μεταμορφώσεως αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ Πατρός· φωτὶ προσλάβωμεν φῶς, καὶ μετάρσιοι γενόμενοι τῷ πνεύματι, Τριάδα ὁμοούσιον ὑμνήσωμεν εἰς τοὺς αἰῶνας.

Δοξολογία μεγάλη. Καὶ ἀπόλυσις.

---

## Εἰς τὴν Λειτουργίαν.

*Ἀπόστολος καὶ Εὐαγγέλιον* τοῦ Ἁγίου Νικολάου.

*Κοινων*. Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

### Μεγαλυνάρια.

Αἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, Χριστοῦ τὸν Ἱεράρχην.

Ἄκακος καὶ πρᾷος, ἀμίαντος ὦ Μύρων, Ἀρχιερεὺς ἐδείχθης.

Ἀρχιερεὺς τῆς Κρήτης, παρὰ Θεοῦ ἐχρίσθης, Μύρων θαυματοβρῦτα.



Ἀγγελικὴν ἐν κόσμῳ, ζωὴν ἐπολιτεύσω, τὴν σάρκα μὴ μολύνας.

Μύρων Ἱεράρχα, τὴν Κρήτην σκέπε πᾶσαν, παντοίων συμπτωμάτων.

Τὴν Κρήτην σαῖς πρεσβείαις, φύλαττε ἐν εἰρήνῃ, θαυμαβρῦτα Μύρων.

Ἡμᾶς τοὺς σὲ τιμῶντας, λύτρωσαι ἐκ κινδύνων, ὦ Μύρων σαῖς πρεσβείαις.

Ἡ Κρήτη νῦν μυρίζει, τὰ λείψανά σου σχοῦσα, ὦ Μύρων Ἱεράρχα.

Κομπάζει θεῖε Μύρων, ἡ Κρήτη σὲ πλουτοῦσα, μέγαν αὐτῆς προστάτην.

Πολιουχεῖ τὴν Κρήτην, ἡ μυροθήκη Μύρων, τῶν σῶν Πάτερ λειψάνων.

Ὁ τάφος σου παρέχει, τοῖς προσιοῦσι πίστει, ῥῶσιν καὶ εὐεξίαν.

Προσκυνοῦμεν Μύρων, εἰκόνα σου ἁγίαν, εἰς τύπον τῆς μορφῆς σου.

Τὸν τάφον σου, ὦ Μύρων, σὺν τοῖς σεπτοῖς λειψάνοις, σοῦ πόθῳ προσκυνοῦμεν.

Ἑόρταζε ἡ Κρήτη, τὴν μνήμην, σοῦ ποιμένος, Μύρωνος καὶ ἀγάλλου.

Ἐνέκρωσας εὐχαῖς σου, τὸν δράκοντα, ὦ Μύρων, τοῦτον ἀπολιθώσας.

Ὁρμὴν συνέσχες Μύρων, τοῦ ποταμοῦ σῇ ῥάβδῳ, θαυματουργῶν θεόφορον.

Συλοῦσί σου τὸν σῖτον, Μύρων συγχωρήσας, ἀπέλυσας εὐχαῖς σου.

Τοὺς Κρῆτας θεῖε Μύρων, διάσωζε ἐκ νόσων, καὶ πάσης ἄλλης βλάβης.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



Συμπαθὴς καὶ πρᾶος, ὑπῆρχες θεῖε Μύρων, ὡς μιμητὴς Κυρίου.

Μὴ παύσῃ ἱκετεύων, ὑπὲρ τῆς Κρήτης Μύρων, ὡς ποιμενάρχης ταύτης.

Καυχώμεθα οἱ Κρῆτες, ἐν σοὶ Μύρων τρισμάκαρ, σὲ πολιοῦχον σχόντες.

Πανήγυρίν σου θείαν, τελοῦμεν πόθῳ Μύρων, Χριστὸν δοξολογοῦντες.

Σὴν ἑορτήν, ὦ Μύρων, ἡ Κρήτη ἑορτάζει, Χριστὸν δοξολογοῦσα.

Θαυμάτων θείαν χάριν, Χριστὸς παρέσχετό σοι, σημειοφόρε Μύρων.

Ἐδόξασέ σε, Μύρων, Θεὸς τῇ ἐνεργείᾳ, θαυμάτων παραδόξων.

Δόξα.

Ὦ Τριὰς Ἁγία, λιταῖς τοῦ Ἱεράρχου, διάσωσον τὸν κόσμον.

*Καὶ νῦν.* Θεοτοκίον.

Ἀμόλυντε Παρθένε, μετὰ τοῦ Ἱεράρχου, δυσώπει τὸν Υἱόν σου.

Ἕτερον Μεγαλυνάριον.

Μύρωνα νῦν πάντες τὸν ἰατρόν, ψυχῶν καὶ σωμάτων, εὐφημήσωμεν οἱ πιστοί· Χαίροις Ἱεράρχα, Κνωσσοῦ τῆς νήσου Κρήτης, περίσωζε τοὺς πίστει σὲ μεγαλύνοντας.

# ΣΥΓΓΙΛΛΙΟΝ

ΤΗΣ

ΜΕΓΑΛΗΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΕΚΚΛΗΣΙΑΣ

ἐπικυροῦν τὴν κατ' ἔτος πανήγυριν τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν

ΙΩΑΝΝΟΥ ΤΟΥ ΕΡΗΜΙΤΟΥ ΚΑΙ ΤΩΝ ΣΥΝΑΣΚΗΤΩΝ ΑΥΤΟΥ ΕΝΝΕΝΗΚΟΝΤΑ ΟΚΤΩ ΤΩΝ ΕΝ ΤΗ ΚΡΗΤῌ ΛΑΜΨΑΝΤΩΝ.

## ΚΥΡΙΛΛΟΣ

ΕΛΕΩ ΘΕΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΝΕΑΣ ΡΩΜΗΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ

Ἄριστα καὶ ἐσκεμμένῃ, ὡς ἐχρῆν, διανοίᾳ οἱ ἐγγυτέρω τοῦ Χριστοῦ Πατέρες παντὶ τῷ τῆς Ἐκκλησίας πληρώματι τοὺς ὁπωσποτοῦν ἐναρέτως τὸ ζῆν διὰ τὴν πάντων ζωήν, τὸν Χριστόν, διανύσαντας, καὶ τὴν ἀρετὴν τῷ θανάτῳ σφραγίσαντας, φθάσαντάς τε δικαίας τελευτήσεως, κατὰ τὸ λόγιον, μετὰ τὴν ἐνθένδε τούτων μετάστασιν, ὕμνοις τιμᾶσθαι καὶ ἐτησίοις πανηγύρεσιν. Ἀρχαῖον γάρ τοι τὸ ἔθος καὶ ἀνέκαθεν αὐτοῖς παραδεδομένον ἐνόμισαν, ναὶ μὴν καὶ δίκαιον, καὶ ὅσον οἷόν τε κοινωφελές. Τήν τε γὰρ Ἰακὼβ τελευτὴν μακρῷ τῷ πένθει πᾶσα ἡ Αἴγυπτος ἐτίμησεν· ὡς καὶ στήλην γενέσθαι τοῖς Χαναναίοις τὴν Ἀτὰδ ἅλωνα, οὗ ταῦτα ἐγίγνετο. Καὶ τὸν Μωϋσῆ

www.tezaurliturgic.ro



δέ, ὃν πολλάκις ζῶντα παρώξυναν οἱ ἐξ Ἰσραήλ, τελευτήσαντα ἐτίμησαν, καὶ τῶν μεγαλουργιῶν τοῦ Θεοῦ αἳ δι' αὐτοῦ ἐγεγόνεισαν, μνείαν καθ' ἑκάστην ποιούμενοι, αὐτόν τε δι' εὐφήμου μνήμης ἄγουσι, καὶ ἐπαχθῶς πρὸς τοὺς παροξύναντας δοκοῦσι φέρεσθαι. Τόν τε Σαμουήλ, ὃν περιόντα ἀπεστράφησαν, θανόντα οὐ μόνον κοπετοῖς ἐνεκωμίασαν, ἀλλὰ καὶ Σαοὺλ ἐκζητήσας ὁ βασιλεύς, καὶ διὰ τῆς ἐγγαστριμύθου εὑρών, ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν καὶ προσεκύησεν αὐτῷ. Εἰ γὰρ ἐναντίον Κυρίου ὁ τῶν Ὁσίων αὐτοῦ θάνατος τίμιος δείκνυται, πῶς οὐ δεινὸν καὶ ἐκτόπως ἄτοπον μὴ καὶ τοῖς ἀνθρώποις τιμᾶσθαι τελευτὰς Ὁσίας; ἔχει τε γὰρ παρὰ ταῦτα τὸ τοιοῦτον τῆς πρὸς τὸν κοινὸν ἡμῶν Δεσπότην εὐνοίας ἀπόδειξιν, ὥς που φιλοσοφῶν ὁ Ἱεροφάντης ἀπεφήνατο, ἢ παροῦσιν ἐπίδοσιν ἢ ἀποῦσι πρόσκλησιν ἀπεργάζεσθαι εἴωθεν, ὡς τὸ τῶν ἐπαίνων χρῆμα καὶ ταῦτα τῶν καθ' ἡμᾶς ἱερῶν ὕμνων, δι' ὧν τοὺς ἀγῶνας τῶν δικαίων ἀνδρῶν τιμῶντες τῷ Θεῷ τὰς εὐχαριστίας ἀπονέμωμεν, ἐξ οὗ πᾶσα ἀρετὴ τοῖς ἀνθρώποις χορηγεῖται· καί γε χρέος ἐπωφελέστατον, τοῦτο αὐτὸ τῷ Θεολόγῳ Γρηγορίῳ νενόμισται· τοῖς γὰρ τοῦ λόγου γνησίοις θεραπευταῖς, τί ἂν καὶ μᾶλλον ἐποφείλεσθαι δόξειε παρὰ τὸν λόγον αὐτόν; καὶ τίς ἐκφράσαι ἱκανῶς δυνήσαιτο; μεσίτας γὰρ αὐτοὺς πρὸς τὸν μόνον εἰρηνάρχην καὶ ἀρχιμεσίτην προβάλλοντες, πᾶν, ὃ ἐὰν αἰτώμεθα ἐν τῷ ὀνόματι τοῦ Κυρίου δι' αὐτῶν λαμβάνομεν· τάς τε τοῦ βίου ἐπηρείας, καὶ τὰς καθ' ἡμῶν δικαίας τοῦ Θεοῦ ἀπειλὰς ἐκκλίνομεν. Ἔνθεν τοι καὶ τὸ τῆς ἐκλογῆς σκεῦος Ῥωμαίοις τε καὶ Ἐφεσίοις, καὶ πᾶσι σχεδόν, πρὸς οὓς ἐπιστέλλων ἦν, καὶ ἀρχέτυπον εὐσεβείας ἐγνωρίζετο, μετὰ παρακλήσεως ἐντέλλεται, συναγωνίσασθαι οἱ ἐν ταῖς προσευχαῖς ὑπὲρ



αὐτοῦ πρὸς τὸν Θεὸν δι' ἃ ποιῆσαι προὐτίθετο· καὶ ἐκτενὴς προσευχὴ ἐγίγνετο ὑπὸ τῆς Ἐκκλησίας, ὑπὲρ τοῦ πρῶτον τὸν τῆς Ἐκκλησίας καταβαλόντος θεμέλιον Πέτρου, οἰκοῦντος τὸ δεσμωτήριον, καὶ οἱ υἱοὶ Ἰσραὴλ τὰς τοῦ Σαμουὴλ πρὸς Θεὸν ἐντεύξεις προβαλλόμενοι, ἐκ χειρὸς ἀλλοφύλων σωθῆναι ἤλπιζον, καὶ τί δεῖ πλεῖον; αὐτοῦ τοῦ Κυρίου ἀκούουσι λέγοντος πρὸς τοὺς τοῦ Ἰὼβ φίλους, λαβόντας θύματα πρὸς τὸν θεράποντα αὐτοῦ Ἰὼβ πορευθῆναι, ἵνα ὑπὲρ αὐτῶν τὴν ὁλοκάρπωσιν ποιήσηται, καὶ προσεύξηται αὐτὸς ὑπὲρ αὐτῶν, ὡς ἀπολέσας αὐτούς, μὴ τοῦ Ἰὼβ μεσιτεύσαντος. Ὑποσχεθέντος τε τοῦ Ἀβραὰμ τὴν ἐπανατεινομένην τοῖς Σοδόμοις ἀνῆσαι μάστιγα, εἰ δέκα μόνους δικαίους ἄνδρας ἐκεῖσε εὑρήσειεν, ἀπείρων τε οὐ μόνον κινδύνων ἐρρύσθησαν, ἀλλὰ καὶ χαρισμάτων οἱ ἐξ Ἰσραὴλ ἀπήλαυσαν, διὰ Ἀβραὰμ τὸν τῷ Θεῷ ἠγαπημένον καὶ Ἰσαὰκ τὸν δοῦλον αὐτοῦ, καὶ Ἰσραὴλ τὸν Ἅγιον αὐτοῦ, καὶ διὰ Δαβὶδ τὸν αὐτῷ εὐαρεστήσαντα.

Οὐχ ἧττον τῶν ἐκείνοις κατορθουμένων, ἢ τῆς πρὸς αὐτοὺς ἐπαγγελίας μεμνημένου τοῦ Κυρίου. Καί τοι γὰρ ἐνθένδε ἀπηλλάγησαν, ἀλλά γε τῷ Θεῷ ζῶσιν εἰς τὸν αἰῶνα τὸν ἅπαντα, ᾗ φασι τὰ ἱερὰ λόγια, καθὸ καὶ ὁ Θεὸς Θεὸς τῶν Πατέρων ἀκούει, οὐχ ὡς νεκρῶν, ἀλλ' ὡς ζώντων Θεὸς καὶ ὢν καὶ καλούμενος. Διὸ καίτοι νεκροὶ τοῖς σώμασιν, ὡς ζῶντες πάντως ἐνεργοῦσι,
καθὰ καὶ ὁ τοῦ Ἐλισσαίου νεκρὸς ἐν τοῖς ξηροῖς ὀστέ-
οις οὗ ἥψατο, αἵ τε τούτων καρτερίαι καὶ τὰ κατορθώ-
ματα παρὰ τῷ Θεῷ οὐ γεγηράκασι, παρ' ᾧ τό, τε πα-
ρεληλυθὸς καὶ τὸ μέλλον ἐνέστηκεν· ἀλλὰ νεοθαλῆ ὡς
ἐλαιῶν θάλλουσι νεόφυτα, οὐ μόνον αὐτοῖς τὸν τῆς
δικαιοσύνης ἀπαιτοῦντα στέφανον, ὃν ἀποδώσει Κύ-
ριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὁ δίκαιος Κριτής, ἀλλὰ καὶ
ἡμῖν τοῖς ταῦτα ἀνθ' ἱκετηρίας προβαλλομένοις ἱλα-

σμὸν καὶ ἁμαρτημάτων ἄφεσιν, ὡς ἄλλον τρόπον τὸ τοῦ Ἄβελ αἷμα κατ' αὐτῶν ἐκχέαντος ἄμυναν. Ταύτης οὖν καὶ ἡμεῖς τῆς ὠφελείας μὴ ἀπολειφθῆναι σπουδάζοντες, τοῖς τῶν πρὸ ἡμῶν Πατέρων ἕπεσθαι, ὡς οἷόν τε, προθυμούμεθα ἴχνεσιν. Ἐπειδὴ πολλῷ πρότερον, ἢ ἐν τοῖς καθ' ἡμᾶς χρόνοις, ἐν τῇ εὐνομουμένῃ τῶν πόλεων Κρήτῃ, ὁ Ὅσιος Ἰωάννης ὁ Ἐρημίτης ἀσκήσει διέλαμψε καὶ οἱ συνασκηταὶ αὐτοῦ ἐννενήκοντα ὀκτὼ τὸν ἀριθμόν, τὸν ἴσον ζῆλον καὶ πολιτείαν ὁμοῦ συνεφώνησαν, ὧν ὁ Κύριος τὸν βίον ὑπὲρ πᾶσαν δεξάμενος ὁλοκάρπωσιν, θαύμασιν ἐξαισίοις ἐδόξασε, κρήνην τινα ἄφθονον, ἢ ποταμὸν εἰπεῖν ἀείρροον τῶν δωρεῶν, τὸν ἐκείνων ἀναδείξας σηκόν, καὶ διασώζων ἑκάστοτε κατά τε γῆν καὶ θάλατταν, τοὺς δι' αὐτῶν τὰς αἰτήσεις ποιουμένους ἐκ πίστεως· συνηγμένοι ἐν Ἁγίῳ Πνεύματι πάντες οἱ παρευρεθέντες Ἀρχιερεῖς καὶ ἐπικαλεσάμενοι τὸν μεθ' ἡμῶν εἶναι πάσας τὰς ἡμέρας ἐπαγγειλάμενον, ἀποφαινόμεθα ἑορταῖς ἐτησίοις καὶ ἱεροῖς ὕμνοις τούτους πανηγυρίζεσθαι, καὶ ταῖς τῶν λοιπῶν Ὁσίων ἀγέλαις συναριθμεῖσθαι· ἔν τε τῇ περιφήμῳ νήσῳ τῆς Κρήτης, ἣν καὶ ἱερὰν παλαίστραν ἐστήσαντο, καὶ ἐν ταῖς κατὰ πᾶσαν τὴν Οἰκουμένην ἁγίαις Ἐκκλησίαις. Δεινὸν γὰρ καὶ ἐπιεικῶς ἄτοπον, τὸν μὲν Θεὸν αὐτοὺς ὡς Ἁγίους θαυμαστῶσαι πάντων ἐνώπιον, ἡμῶν δὲ τῆς τούτων μὴ καταπολαύειν τιμῆς, ἀλλὰ καὶ ζημιοῦσθαι τὴν ἀπὸ ταύτης ὠφέλειαν, τούτων μάλιστα προστατῶν δεομένους. Πάντες οὖν ἀναμφιβόλως καὶ μετὰ θερμῆς τῆς πίστεως τοὺς ἄνδρας ταῖς κατ' ἔτος πανηγύρεσι τιμῶντες, μιμεῖσθε τὴν εὐσέβειαν, καὶ πρὸς τὸν Κύριον μεσίτας προβαλλόμενοι, καὶ ἀντιλαμβάνοντες τὰ πρὸς σωτηρίαν αἰτήματα καὶ ζωὴν τὴν αἰώνιον· ἧς καὶ ἡμεῖς ἐπιτύχοιμεν διά τε τῶν θεοπειθῶν εὐχῶν τοῦ δε τοῦ Ἁγίου καὶ τῶν σὺν αὐτῷ

www.tezaurliturgic.ro



συνεκλαμψάντων Ὁσίων ἀνδρῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

αχλϐ' Ἀπριλίου κθ'.

† Ὁ Καισαρείας Ἐπιφάνιος
† Ὁ Λαρίσσης Γρηγόριος.
† Ὁ Φιλίππων καὶ Δράμας Ἀβέρκιος.
† Ὁ Νικομηδείας Νεόφυτος.
† Ὁ Ξάνθης Σαμουήλ.
† Ὁ Χαλκηδόνος Νεκτάριος.
† Ὁ Βερροίας Κύριλλος.
† Ὁ Κυζίκου Παρθένιος.
† Ὁ Αἴνου Παρθένιος.
† Ὁ Μεσημβρίας Ἀκάκιος.
† Ὁ Ραιδεστοῦ καὶ Πανίου Θεοφάνης.
† Ὁ Ἐφέσου Μελέτιος.
† Ὁ Σερρῶν Διονύσιος.
† Ὁ Ἀγκύρας Λαυρέντιος.
† Ὁ Γάνου καὶ Χώρας Ἰωαννίκιος.
† Ὁ Συλληβρίας Παρθένιος.
† Ὁ Ἐλασσῶνος Ἰωάσαφ.
† Ὁ Θεσσαλονίκης Ἀθανάσιος.
† Ὁ Βυζίης Δαμασκηνός.
† Ὁ Ἀδριανουπόλεως Παρθένιος.
† Ὁ Ν. Πατρῶν Νεόφυτος.

ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro
ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro

# ΟΙ ΑΓΙΟΙ ΕΝΝΕΝΗΚΟΝΤΑ ΕΝΝΕΑ ΠΑΤΕΡΕΣ ΟΙ ΕΝ ΚΡΗΤΗ ΑΣΚΗΣΑΝΤΕΣ.



Ἐσχεδ. ὑπὸ Α. Β.

# ΑΚΟΛΟΥΘΙΑ

ΤΩΝ ΟΣΙΩΝ ΚΑΙ ΘΕΟΦΟΡΩΝ ΠΑΤΕΡΩΝ ΗΜΩΝ
ΙΩΑΝΝΟΥ ΤΟΥ ΕΡΗΜΙΤΟΥ
ΚΑΙ ΤΩΝ ΣΥΝΑΣΚΗΤΩΝ ΑΥΤΟΥ 98
ΤΩΝ ΕΝ ΤΗ ΚΡΗΤΗ ΛΑΜΨΑΝΤΩΝ

ψαλλομένη τῇ 7 Ὀκτωβρίου

---

Ἑσπέρας ἐν τῷ μεγάλῳ ἑσπερινῷ, στιχολογοῦμεν τὸ «Μακάριος ἀνήρ». Εἰς δὲ τὸ «Κύριε ἐκέκραξα», ἱστῶμεν στίχ. ϛ'. καὶ ψάλλομεν τὰ παρόντα προσόμοια.

Τοῦ Ἁγίου ἦχος ά. Τῶν οὐρανίων ταγμάτων.

Λαμπρᾷ φωνῇ δεῦτε πάντων, Κρητῶν ὁ σύλλογος, νῦν ἐν φωναῖς ᾀσμάτων, ἐν ναῷ τοῦ Κυρίου, ὑψώσωμεν τὰς χεῖρας, καὶ δόξαν Θεῷ, ἀναπέμψωμεν σήμερον, τῷ δόντι ῥύστην, καὶ μέγαν ἡμῖν φρουρόν, Ἰωάννην τὸν πανένδοξον.

Σήμερον τέρπεται πόλις, ἡ Κυδωνία πιστῶς, κατέχουσα ἐν κόλποις, τὸν ἀσύλητον πλοῦτον, τὸν μέγαν Ἰωάννην τὸν θαυμαστόν, κατὰ γῆν τε καὶ θάλασσαν· καὶ δι' αὐτοῦ συγκαλεῖται πάντας ἡμᾶς, τοῦ δοξάσαι σὺν αὐτῇ τὸν Θεόν.

Ταῖς τῶν θαυμάτων ἀκτῖσι, πᾶσαν φωτίζει τὴν γῆν, τοὺς ἐν θαλάσσῃ ὄντας, βοηθεῖ καθ' ἑκάστην, νοσήματα διώκει παύει ψυχῶν, καὶ σαρκὸς ἀρρωστήματα, παρὰ Κυρίου τὴν χάριν ἀπειληφώς, Ἰωάννης ὁ πανένδοξος.

www.tezaurliturgic.ro



τῶν Ὁσίων. ὁ αὐτός. Πανεύφημοι μάρτυρες.

Πατέρες πανάγιοι χορός, ἀσκητῶν γεγόνατε, ἐν ἐγκρατείᾳ βιώσαντες· καὶ νῦν αὐλίζεσθε, ἐν μοναῖς ὁσίων, ἔνθα φῶς τὸ ἄδυτον, τὸ ξύλον τῆς ζωῆς ἔνθα πέφυκε· διὸ πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Πατέρες πανεύφημοι σαρκός, τὰς ὁρμὰς μαράναντες, ἀγγελικῶς διηγάγετε, ζωῆς τὸ στάδιον, ὡς Ἠλίας πάλαι, τὸν νοῦν καθηράμενοι, ἀπαύστοις πρὸς τὸ θεῖον ταῖς νεύσεσι· διὸ πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Πάντα κατελίπετε τερπνά, Χριστὸν ἀγαπήσαντες, οὗ ψυχικῶς ἐκολλήθητε, ὀπίσω ἔνδοξοι, ὡς Θηβαῖος Παῦλος, ᾧ καὶ προσηνέχθητε, ὡς θύματα ἁγνὰ καὶ εὐπρόσδεκτα· διὸ πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Δόξα τοῦ Ἁγίου. ἦχος πλ. β'.

Ὡς ἔνθεος ἡ ζωή σου, καὶ πανίερόν σου τὸ τέλος, Ἰωάννη σοφέ· ἐν αὐτῷ γὰρ πᾶσα, τῶν πιστῶν ἡ πληθὺς συναχθεῖσα, ὡς ἔβλεψεν ἄπνουν ἐν κλίνῃ σε, ῥήμασι γοεροῖς ἀνεβόα· δὸς τελευταῖον λόγον τοῖς δούλοις σου Ἅγιε· δίδαξον ποῦ καταλείπεις τὰ τέκνα σου Πάτερ, ἃ ᾤκτειρας, ὡς Πατὴρ ὄντως συμπαθὴς καὶ φιλόστοργος. Ὅμως κἂν ὧδε τῷ τάφῳ καλύπτῃ, ἀλλ' ἄνω σε πάντες πλουτοῦμεν προστάτην, καὶ πρεσβευτὴν πρὸς Θεόν, οἱ πόθῳ τιμῶντές σε.

Καὶ νῦν. Τίς μὴ μακαρίσει σε.

Εἴσοδος. Φῶς ἱλαρόν.

Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.



*Παροιμιῶν τὸ ἀνάγνωσμα.*

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνήν, υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν, ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλή, καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε Πνεύματος.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ Βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λή-

www.tezaurliturgic.ro



ψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνης, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς Πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις Ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς. Ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.



## Εἰς τὴν Λιτὴν

### Τοῦ Ἁγίου ἦχος α'.

Περικυκλοῦντες τὴν λάρνακα τῶν Λειψάνων σου, μοναστῶν φωστὴρ Ἰωάννη σοφέ, καθάπερ πάλαι τὸν τάφον τοῦ Πατριάρχου Ἰακώβ, οἱ τούτου ἔγγονοι· οὐ δάκρυα χέομεν, οὐδὲ θρήνοις κοπτόμεθα, ἀλλὰ χαρᾶς ἀπλέτου πληρούμεθα· ἅπαντες πλουτοῦντες ἐξ αὐτῆς τὰς ἰάσεις, καὶ δοξάζοντες τὸν σὲ δοξάσαντα Κύριον.

### Ὁ αὐτός.

Δεῦτε πιστοὶ συνελθόντες ἐνθέως, ἐν τῇ μνήμῃ σήμερον τοῦ Θεφόρου Πατρός, ψαλμικῶς τὰς χεῖρας κροτήσωμεν, καὶ ἐν φωνῇ ἀγαλλιάσεως, βοήσωμεν λέγοντες· Χαίροις ὁ τὸν Σταυρὸν τοῦ Χριστοῦ, ἐπ᾽ ὤμων ἀράμενος, καὶ ἐν αὐτῷ τὸν παλαιὸν σὺν ταῖς ἐπιθυμίαις συσταυρώσας ἄνθρωπον· Χαίροις φωστὴρ τῆς Κρήτης παμφαέστατε, καὶ τῆς οἰκουμένης ἀγαλλίαμα φαιδρόν· Χαίροις νοσούντων ἐπίσκεψις, καὶ θλιβομένων χαρὰ καὶ ἀγαλλίασις· τοὺς ἐκτελοῦντας τὴν μνήμην σου πιστῶς, ἀπὸ πάσης προσβολῆς ἐναντίας καὶ περιστάσεως λύτρωσαι, ταῖς πρὸς Θεὸν ἱκεσίαις σου Πάτερ, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

### Τῶν Ὁσίων. Ὁ αὐτός.

Εὐφραίνου ἐν Κυρίῳ στῖφος τῶν μοναζόντων· ἡ ποίμνη δὲ χόρευε Χριστοῦ ἡ ἐν τῇ Κρήτῃ, κατέχουσα ἐν κόλποις ὡς θησαυρὸν ὑπέρλαμπρον τῆς εὐσεβείας, τοὺς Ἁγίους Πατέρας καὶ σοφοὺς ἀσκητάς· ἀνύμνησον τῶν αὐτῶν κατορθωμάτων τοὺς ἀγῶνας, καὶ κήρυττε τὰ θαύματα, τὰ ὑπ᾽ αὐτῶν τελούμενα ἀπαύστως· καὶ εὐχαρίστως τῷ Σωτῆρι ἀνάκραξον, Κύριε δόξα σοι.

www.tezaurliturgic.ro



Ἦχος πλ. δ'.

Κύριε σοῦ τῇ ἀηττήτῳ δυνάμει, κραταιωθέντες οἱ Ὅσιοι, τοὺς ὑπὲρ φύσιν ἀγῶνας, γενναίως ἐνεκαρτέρησαν, καὶ τοὺς στεφάνους αὐτῶν τῆς ἀσκήσεως ἐνεδύσαντο. Διὰ τοῦτο εἰς αἰῶνας, δοξάζουσι τὴν δυναστείαν σου.

Δόξα. ἦχος πλ. β'.

Θεία χάρις ἀπῃώρητο ἐπὶ τῇ θήκῃ τῶν λειψάνων ὑμῶν, ἡγιασμένοι Ὅσιοι. Διὸ καὶ εἰς ὀσμὴν μύρου τῶν θαυμάτων ὑμῶν δραμούμεθα, τῶν νοσημάτων τὴν ἴασιν ἀρυόμενοι. Ἀλλὰ Πατέρες πανσεβάσμιοι, Χριστὸν τὸν Θεὸν ἱκετεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτόκε σὺ εἶ ἡ ἄμπελος . . .

Ἀπόστιχα τῶν Ὁσίων.

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Πάντα τὰ τοῦ βίου ἀληθῶς, διὰ τὸν Χριστὸν ὦ Πατέρες, ἐγκατελίπετε, ὕλην τε τὴν ῥέουσαν κατεφρονήσατε, καὶ πτωχείαν ἀμέτρητον, ἠνέσχεσθε ἵνα, ὄλβον ἀναφαίρετον ἐν τῇ ἀλήκτῳ ζωῇ, λάβητε σὺν πᾶσιν Ἁγίοις, ὅταν ἔλθῃ κρῖναι τὰ ἔργα, πάντων ὁ Κριτὴς ὁ εὐδιάλλακτος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου.

Ἔνδον τῆς καρδίας ἀληθῶς, ἔχοντες Πατέρες τὸν ζῆλον, τὸν ἐπουράνιον, κόνιν τέφραν, ὄναρ τε, πάντα τὰ γήϊνα, καὶ σκιᾶς ἀσθενέστερα, λελόγισθε εἶναι, ὅθεν ἐμισήσατε ταῦτα πανόλβιοι· νῦν δὲ εἰς αἰώνια ὄντες, καὶ ἡμᾶς τὸν Κύριον τούτων, καταξιωθῆναι ἱκετεύσατε.

Στίχ. Στόμα δικαίου μελετήσει σοφίαν.

Ὅσιοι πατέρες εὐσταλῶς, τὴν τῆς ἐρημίας στενήν τε, καὶ τεθλιμμένην ὁδὸν, χαίροντες διήλθετε καὶ ἀγαλλόμενοι, πρὸς τὰ ἄφθαρτα ἔχοντες, τὸν νοῦν ἐστραμμένον, καὶ πρὸς τὰ οὐράνια θεῖα σκηνώματα· ἔνθα νῦν, Ἁγίων τοῖς δήμοις, συνεπαγαλλόμενοι, μνείαν, καὶ ἡμῶν ποιεῖσθε πανσεβάσμιοι.

Δόξα τοῦ Ἁγίου. ἦχος δ'.

Ἐν τῇ καρδίᾳ σου, Πάτερ, τὸ θεῖον πῦρ εἰσδεξάμενος, τὴν τῶν ἐντολῶν ἐργασίαν, πυρσὸν ἀνῆψας ὑπέρλαμπρον· ὅθεν καταυγασθεὶς τὴν διάνοιαν, ὁλολαμπὴς ἐχρημάτισας· οὐκ ἔδει γὰρ τεθεῖναι τὸν λύχνον ὑπὸ τὸν μόδιον, ἀλλ' ὡς λυχνίαν τὴν Κρήτην χρησάμενος, φέρων σεαυτὸν ἐπέθηκας, φαίνων πᾶσι, τοῖς ἐν τῇ Κρήτῃ Ὅσιε Πάτερ· κἀντεῦθεν τοὺς ἐξ ἁπάσης γῆς καὶ θαλάσσης, πρὸς τὴν σὴν μάνδραν ἐχειραγώγησας, καὶ ἐν ταῖς ἐνθέοις σου διδαχαῖς, τὴν τοῦ Εὐαγγελίου τρίβον ὁδεύειν ὡδήγησας. Διὸ Πατέρων κλέος Ἰωάννη Σοφὲ, τῷ τῆς ζωαρχικῆς Τριάδος φωτὶ παριστάμενος, ὑπὲρ τῶν σῶν δούλων πρέσβευε, τῶν ἐν τῷ βίῳ δεινῶν ῥυσθῆναι, καὶ πρὸς φῶς καταντῆσαι τὸ ἀνέσπερον.

Καὶ νῦν. Ἐκ παντοίων κινδύνων . . .

Ἀπολυτίκιον τοῦ Ἁγίου. Ἦχος α'.

Τοῖς ἐν Κρήτῃ εὐχέτης καὶ τοῦ κόσμου ὑπέρμαχος, καὶ ἡγιασμένος ἐφάνης, Θεοφόρε πατὴρ ἡμῶν Ἰωάννη· νηστείᾳ ἀγρυπνίᾳ προσευχῇ, οὐράνια χαρίσματα λαβὼν, θεραπεύεις τοὺς νοσοῦντας, καὶ τὰς ψυχὰς τῶν πίστει προστρεχόντων σοι· δόξα τῷ ἀναδείξαντί σε ἱερόν, δόξα τῷ σὲ ἁγιάσαντι, δόξα τῷ ἐν τοῖς πέρασι τοῦ κόσμου, προστάτην θερμὸν ἀναδείξαντι.

Δόξα. Τῶν Ὁσίων. ἦχος γ'. Τὴν ὡραιότητα.

Ἡ μεγαλόνησος, Κρήτη εὐφραίνεται, ὅτι ἐν ὄρεσιν, αὐτῆς ἐνίκησαν, τὸν πολυμήχανον ἐχθρὸν, Πατέρες οἱ θειότατοι, δάκρυσι νηστείαις τε, προσευχαῖς καὶ δεήσεσιν, ὅθεν καὶ τὰ πνεύματα, σὺν ἀγγέλοις ἀγάλ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΕΑ ΦΙΛΙΠΠΟΥ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro

λονται, τὰ λείψανα τὰ θεῖα δὲ τούτων, ῥῶσιν χαρίζουσι τοῖς κάμνουσι.

Καὶ νῦν. Θεοτοκίον.

## Εἰς τὸν Ὄρθρον.

Μετὰ τὴν α΄. στιχ. Καθίσματα.

Τοῦ Ἁγίου. ἦχος γ΄. Τὴν ὡραιότητα.

Ἐν τῇ ἀσκήσει σου, πάντας ἐξέπληξας, τὴν ὑπερθαύμαστον, Πάτερ ὁρῶντάς σου, διαγωγήν· καρτερικὸς, καὶ πρᾶος ἀναδέδειξαι, Ὅσιος καὶ ἄκακος, καθαρὸς καὶ ἀμίαντος, πύργος ἀκατάσειστος, Ἰωάννη ἐν θλίψεσι· διὸ καὶ νῦν μεγίστην λαμβάνεις, δόξαν παρὰ τοῦ στεφοδότου Χριστοῦ.

Δόξα τῶν Ὁσίων. ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ἐβαπτίσθητε τρισσῶς, τὸ τρίτον βάπτισμα σαφῶς, δι' ὑδάτων καὶ πυρὸς, καὶ θείου Πνεύματος τὸ πρὶν, ἐκ τῶν δακρύων τὸ δεύτερον ἐν τῇ Κρήτῃ, ἀσκήσαντες στερρῶς, καὶ διανύσαντες, ἰσάγγελον ἐν γῇ, βίον, μακάριοι· καὶ ὥσπερ θεῖα θύματα τὸ τρίτον, ἐν τῷ σπηλαίῳ τυθέντες Χριστῷ τῷ Θεῷ· αὐτὸν ἀπαύστως, ἐκδυσωπεῖτε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τρικυμίαις τῶν παθῶν, ὁ ἀσυνείδητος ἐγώ, χειμαζόμενος Ἁγνὴ, ἐπικαλοῦμαί σε θερμῶς· μὴ μὲ παρίδῃς τὸν δείλαιον ἀπολέσθαι, ἄβυσσον ἐλέους ἡ τέξασα· πλὴν σοῦ γὰρ ἄλλην ἐλπίδα οὐ κέκτημαι· μὴ οὖν ἐχθροῖς ἐπίχαρμα καὶ γέλως, ὁ πεποιθὼς σοι ὀφθήσομαι· καὶ γὰρ ἰσχύεις, ὅσα καὶ βούλει, ὡς μήτηρ οὖσα τοῦ πάντων Θεοῦ.

Μετὰ τὴν β΄ στιχ. Καθίσματα.

Τοῦ Ἁγίου. ἦχος πλ. δ΄. Τὴν σοφίαν καὶ Λόγον.

Τοὺς ἱδρῶτας καὶ πόνους τοὺς σοὺς σοφὲ, νοερῶς θεωροῦντες πάντες πιστοὶ, πάσης κατανύξεως τὰς



ψυχὰς ἐμπιπλάμεθα, καὶ πρὸς θείους ὕμνους, καὶ δόξαν καὶ αἴνεσιν, τοῦ Δεσπότου τῶν ὅλων, Ἰωάννη μακάριε, πόθῳ ἐγκαρδίῳ, ἑαυτοὺς συγκινοῦμεν, ᾠδαῖς σε γεραίροντες, καὶ πιστῶς ἐκβοῶντές σοι, ὡς Κυρίου θεράποντι· Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα. τῶν Ὁσίων. Ὅμοιον.

Τῷ φωτὶ τῆς Τριάδος περιφανῶς, πυρσευθέντες Πατέρες φωτοειδεῖς, τὸ σκότος ἐλίπετε, ἡδονῶν τὸ βαθύτατον, καὶ φωστῆρες ἔργοις, ἐνθέοις πυρσεύοντες, τῶν πιστῶν καρδίας, μακάριοι ὤφθητε· ὅθεν τὴν φωσφόρον, καὶ σεπτὴν ὑμῶν μνήμην, γεραίρομεν σήμερον, καὶ συμφώνως κραυγάζομεν· θεοφόροι πανόλβιοι, πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην ὑμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν σοφίαν καὶ Λόγον ἐν σῇ γαστρὶ, συλλαβοῦσα ἀφράστως μήτηρ Θεοῦ, τῷ κόσμῳ ἐκύησας, τὸν τὸν κόσμον κατέχοντα, καὶ ἐν ἀγκάλαις ἔσχες, τὸν πάντα διέποντα, καὶ ἐκ μαζῶν ἐθήλασας, τὸν πάντα ἐκτρέφοντα· Ὅθεν δυσωπῶ σε, Παναγία Παρθένε, καὶ πίστει κραυγάζω σοι, τοῦ ῥυσθῆναι πταισμάτων μου, ὅταν μέλλωμεν κρίνεσθαι· Δέσποινα παρθένε ἁγνὴ, τὴν σὴν βοήθειαν τότε μοι δώρησαι· καὶ γὰρ δύνασαι, ὅσα θέλεις Πανάμωμε.

Μετὰ τὸν πολυέλεον.

Τοῦ Ἁγίου. ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ὑμνοῦμεν τὴν σεπτὴν, καὶ ἁγίαν σου μνήμην, τὴν πᾶσι τοῖς πιστοῖς, χορηγοῦσαν ἀφθόνως, τὴν ἴασιν μακάριε, τοῖς ἐκ πόθου κραυγάζουσι· Σῶσον Ἅγιε, ἡμᾶς τοὺς

www.tezaurliturgic.ro

δούλους σου, σῶσον, ταῖς πρεσβείαις σου, ταῖς πρὸς Θεὸν, Ἰωάννη, τῆς Κρήτης τὸ καύχημα.

Δόξα. τῶν Ὁσίων, ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τῶν Κρητῶν προΐστασθε, σκέποντες τούτους, ἀπὸ πάσης θλίψεως, ἀπολυτρούμενοι ἡμᾶς· καὶ ἐκ φθορᾶς καὶ κακώσεως, Πατέρες θεῖοι, τῆς Κρήτης ὑπέρμαχοι.

Καὶ νῦν. Θεοτοκίον.

Προστασία ἄμαχε, τῶν ἐν ἀνάγκαις, καὶ πρεσβεία ἕτοιμος, τῶν ἐλπιζόντων ἐπὶ σέ· ἀπὸ κινδύνων μὲ λύτρωσαι, καὶ μὴ παρόψῃ, ἡ πάντων βοήθεια.

Οἱ ἀναβαθμοί. Προκείμενον. ἦχος δ'.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν Ὁσίων αὐτοῦ.

Στίχ. Τί ἀνταποδώσωμεν.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.

» Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου.. Ζήτει ἔμπροσθεν.

Ὁ Ν'. Δόξα. Ταῖς τῶν σῶν Ὁσίων.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου..

Στίχ. Ἐλέησόν με ὁ Θεός.

Ἦχος β'.

Ἠγάπησας Ἰωάννη, τὴν ἀνωτάτω Φιλοσοφίαν, καὶ ἔξω Κόσμου ἐγένου, ζῶν ὑπὲρ τὰ ὁρώμενα· καὶ ἔσοπτρον ἀκηλίδωτον Θεοῦ, θεῖον ἀνεδείχθης, καὶ ὢν ἀεὶ ἡνωμένος φωτὶ, φῶς προσελάμβανες, καὶ τρανώτερον τοῦ μακαρίου ἔτυχες τέλους, πρεσβεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εἶτα τὸ, Σῶσον ὁ Θεός.

Ὁ παρακλητικὸς κανὼν τῆς Θεοτόκου.

Τοῦ Ἁγίου καὶ τῶν Ὁσίων.

Τοῦ Ἁγίου. Ὠδὴ α. ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.

Ἀγγέλων ἰσότιμος γεγονὼς, καὶ τῷ θείῳ Θρόνῳ



Ἰωάννη παρεστηκὼς, ἀρωγὴν μοι πέμψον ἀνυμνῆσαι, τὴν αὐλώδη σοφὲ πολιτείαν σου.

Γῆν τὴν φθειρομένην καταλιπὼν, γεώδη τε πάντα, καὶ γονέων τὸ εὐγενὲς, τῶν γῆθεν ἀναλύσας νῦν τυγχάνεις, Ἀγγέλων Μάκαρ ὁμοδίαιτος.

Δέμας ἐκδαμάσας Πάτερ τὸ σὸν, ἐγκρατείας πόνοις ὡς ἀδούλωτον ἐντελῶς, δέδωκας τῶν τῇδε τῷ Δεσπότῃ, οὐ γὰρ δουλεύειν γηΐνοις δεδίδαξαι.

Θεοτοκίον.

Ἐλύθη τῆς Εὔας ἡ ἐν Ἐδὲμ, ἀρὰ Θεοτόκε, τεξαμένης σου τὴν χαρὰν, τὴν ὄντως· διό σε κατὰ χρέος, ὡς εὐεργέτην ἡμῶν μεγαλύνομεν.

Τῶν Ὁσίων. ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Ἀκτῖνά μοι βράβευσον, φωτοειδῆ ἀκατάληπτε, Τριὰς ἡ φωτίζουσα τὴν κτίσιν ἅπασαν, τὴν πανήγυριν, νῦν τῶν σεπτῶν Πατέρων, ὅπως δι' αἰνέσεως ἐγκωμιάσαιμι.

Μονὴν τὴν αἰώνιον, ὑμεῖς θερμῶς ἐποθήσατε, καὶ θεῖα σκηνώματα Πατέρες ἅγιοι· ἔνθα πέφυκε, χορὸς ὁ τῶν Ἁγίων· ὅθεν ἀγαλλόμενοι ταῦτα κεκλήρωσθε.

Ἀνδρείως ἀντέστητε, τοῖς διαβόλου παλαίσμασι, διὸ νενικήκατε τῇ βοηθείᾳ σοφοὶ, τοῦ παντάνακτος, Χριστοῦ τοῦ ἀθλοθέτου· παρ' οὗ καὶ τὸν στέφανον καλῶς εἰλήφατε.

Θεοτοκίον.

Ῥῦσαι ἡμᾶς Ἄχραντε, πάσης ὀργῆς τε καὶ θλίψεως, καὶ πάσης κακώσεως, καὶ ἐκ παντὸς πειρασμοῦ, τοὺς ἱκέτας σου, Παρθένε Θεοτόκε, ἵνα σου τὸν ἄσπορον τόκον δοξάζωμεν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro

Ὠδὴ γ'. Τοῦ Ἁγίου. Σὺ εἶ τὸ στερέωμα.

Ζῶν νεκρὸς λελόγισαι, τῇ ἐγκρατείᾳ τοῦ σώματος· διὸ θανὼν ζῇς μετὰ Ἀγγέλων, εἰς αἰῶνας μακάριε.

Ἤστραψας τοῖς πέρασι, φωτοφανὴς ὥς τις ἥλιος, καὶ πανταχοῦ, τὰς τῶν σῶν θαυμάτων, λαμπηδόνας ἐξέχεας.

Θησαυρὸν πολύτιμον, ἡ τῶν Κρητῶν κληρουχία σε, ἔχει Σοφὲ, καὶ τοῖς τῶν Λειψάνων, θαυμασίοις φαιδρύνεται.

Ἵνα τὴν οὐράνιον, κληρονομήσῃς ἀπόλαυσιν, Πάτερ, Σοφὲ τοῖς γηΐνοις πάντα, τὰ γεώδη κατέλιπες.

Θεοτοκίον.

Κλίμακά σε Πάναγνε, ὁ Ἰακὼβ ἐθεάσατο, δι' ἧς Χριστὸς, τὴν καταφθαρεῖσαν, φύσιν καταβὰς ἠλευθέρωσε.

Τῶν Ὁσίων. Τοὺς σοὺς Ὑμνολόγους.

Τῶν θείων ὑμῶν κατορθωμάτων, τὸ πλῆθος ἀδύνατον εἰπεῖν· ἐζῆτε γὰρ ὡς Ἄγγελοι, διὸ ὑμᾶς ἐδόξασεν, ὁ Παντοκράτωρ Κύριος, ἐπουρανίοις χαρίσμασιν.

Ὡς θεῖοι φωστῆρες ὦ Πατέρες, ἐν Κρήτῃ ἐλάμψατε σοφοὶ, οὐ μόνον ἐν τοῖς ὄρεσιν, ἀλλ' ἐν παντὶ καὶ πάντοτε, τόπῳ καὶ χώρᾳ ἅπαντας, καταφωτίζοντες πάνσεπτοι.

Λύσιν τῶν πολλῶν ἡμῶν σφαλμάτων, εὐχαῖς τῶν Ὁσίων ἡμῖν δὸς, δεσμῶν τῶν τῆς σαρκὸς ἡμῶν, μετὰ τὴν λύσιν Κύριε, ὅπως ζωῆς τῆς κρείττονος, ἀξιωθῶμεν οἱ τάλανες.

Θεοτοκίον.

Οὐ κέκτημαι δάκρυα τοῦ κλαῦσαι, τὰ πταίσματα οἴμοι! τὰ ἐμά, τὰ τὴν ψυχήν μου βλάπτοντα· διὸ εἰς σὲ τὴν εὔσπλαγχνον, πᾶσαν ἐλπίδα Πάναγνε, ὁ δυστυχὴς ἀνατίθημι.



Κάθισμα τοῦ Ἁγίου. Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Τῆς σαρκὸς ἐκμαράνας τὰς ἡδονὰς, καὶ τὰ πάθη νεκρώσας ζήλῳ Θεοῦ, ὅλον καθιέρωσας, σεαυτὸν τῷ Κυρίῳ σου, ἀγχιστὰς καὶ πλοῦτον οὐδὲν λογισάμενος, πάντα καταλείψας τοῦ κόσμου τὰ ῥέοντα· ὅθεν ἀνεδείχθης, Ἰωάννη Τρισμάκαρ, Κρητῶν κλέος τίμιον, Ἀσωμάτων συνόμιλος, ὧν χοροῖς ἀγαλλόμενος, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν Ἁγίαν μνήμην σου.

Δόξα. ὅμοιον. Τῶν Ὁσίων.

Τοὺς δεσμοὺς διαρρήξαντες τῶν παθῶν, ἐκολλήθητε πόθῳ τῶν ἀγαθῶν, δόξαν ὑπερκόσμιον, ἐν Χριστῷ ἐνεδύσασθε, ἐξ οἰκείων πόνων, εὑρόντες ἀνάπαυσιν, ἐγκρατείας πόνοις, τυχόντες τῆς ἄνω ζωῆς· Ὅθεν ἐπαξίως, συνευφραίνεσθε ἅμα, ταῖς ἄνω δυνάμεσι, γηθοσύνως ἐν ᾄσμασι, τῷ Θεῷ παριστάμενοι, θεοφόροι πατέρες ἡμῶν, τῶν πταισμάτων ἄφεσιν αἰτήσασθε, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην ὑμῶν.

*Καὶ νῦν.* Θεοτοκίον.

Χαῖρε θρόνε πυρίμορφε τοῦ Θεοῦ· Χαῖρε Κόρη καθέδρα βασιλική· κλίνη πορφυρόστρωτε, χρυσοπόρφυρε θάλαμε, χλαμὺς ἀλουργόχροε, τιμαλφέστατον τέμενος, ἀστραπηφόρον ἅρμα, λυχνία πολύφωτε· χαῖρε Θεοτόκε, δωδεκάτειχε πόλις, καὶ πύλη χρυσήλατε, καὶ παστὰς ἀγλαόμορφε, ἀγλαόχρυσε τράπεζα, θεοκόσμητον σκήνωμα, χαῖρε ἔνδοξε νύμφη ἡλιοστάλακτε, χαῖρε μόνη, ψυχῆς ἡμῶν ἡ εὐπρέπεια.

8

www.tezaurliturgic.ro

ᾨδὴ δ'. Τοῦ Ἁγίου. Σύ μου Χριστὲ Κύριος.

Λαῖτμα σφοδρὸν, πρὶν Ἐρυθραῖον ἐμέρισεν, ὁ Προφήτης, Μωϋσῆς ῥυόμενος, ἐκ τῆς Αἰγύπτου τὸν Ἰσραὴλ, Σταυροῦ τῇ δυνάμει· σὺ δ' ὦ Ἰωάννη Μακάριε, ἔδης ἐπὶ θαλάσσης, πλέων ὡς δι' ὁλκάδος, τοῦ Δεσπότου σου πίστει νευρούμενος.

Μαθητευθεὶς, τῷ μεθιστάναι διδάξαντι, τοῖς κτωμένοις πίστιν ὡς σινάπεως κόκκον, τὰ ὄρη καὶ τοὺς βουνοὺς, Ἰωάννη Μάκαρ, τὸ σῶμα πίστει καθώπλισας, καὶ γέγονας ὁδίτης, ἀποντίστως θαλάσσης, ἐξιστῶν τοὺς ὁρῶντάς σε Ὅσιε.

Ναίων ποτὲ, ὁ Ἰωνᾶς θείῳ νεύματι, ἐν θαλάσσῃ τῷ κήτει ἐφέρετο, σῶμα κτωμένῳ τε καὶ πνοὴν, σὺ δὲ Θεοφόρε, ἐφέρου νῦν ἐν τοῖς κύμασι, δι' ἄπνοος πλοίου· θαυμαστὸς ἐν Ἁγίοις, σὺ ὑπάρχεις Χριστὲ ὁ Θεὸς ἡμῶν.

Θεοτοκίον.

Ὅλην ἐν σοὶ, νῦν τὴν ἐλπίδα μου τίθημι, Παναγία, σῶσόν με πρεσβείαις σου, ἡ τὸν Θεὸν τέξασα σαρκὶ, καὶ πρὸς τρίβους θείας, τὸν ἄθλιον καθοδήγησον, ἵνα σοι κατὰ χρέος, ἐκβοήσω τὸ Χαῖρε, τοῦ Ἀγγέλου, Παρθένε σῳζόμενος.

Τῶν Ὁσίων. Τὴν ἀνεξιχνίαστον.

Σεπτοὺς ἀντιλήπτορας καὶ βοηθοὺς, ἔχουσα ἡ Κρήτη πρὸς Κύριον, ὑμᾶς Πατέρες, ὑπὲρ ἁπάντων πρεσβευτὰς, ῥῶσιν λαμβάνει πάντοτε· ὅθεν καὶ γεραίρει ὑμῶν τὰ λείψανα.

Ἰατρεῖον ἄσυλον παντοδαπῶν, νόσων τὰ ὑμέτερα λείψανα, οἱ ἐν τῇ Κρήτῃ, κεκτημένοι εὐλαβῶς, σεπτῶς πανηγυρίζομεν, τὴν μνήμην ὑμῶν πανσεβάσμιοι.

Ἔνδον ἐν καρδίᾳ Πατέρες σεπτοὶ, ἔχοντες τὸν



φόβον τῆς κρίσεως, τῆς ἀδεκάστου, καθ' ἑκάστην τὸν Κριτὴν, πένθει ἐξευμενίζετε· ἄληκτον χαρὰν διὸ εὕρατε.

Θεοτοκίον.

Ῥῦσαί με Πανύμνητε, ἡ τὸν Θεὸν, Ἄχραντε Παρθένε κυήσασα· πάσης ἀνάγκης, καὶ παντοίων πειρασμῶν, νόσου δεινῆς καὶ μάστιγος, φθόνου καὶ θυμοῦ τὸν ἱκέτην σου.

ᾨδὴ ε'. Τοῦ Ἁγίου. Φώτισον ἡμᾶς.

Πύλην τὴν στενὴν, καὶ ὁδὸν διελθὼν Ὅσιε, τὴν τεθλιμμένην τε καὶ δύσβατον πύλην εὗρες, ἀκωλύτως τὴν οὐράνιον.

Ῥόδον ὡς λαμπρὸν, ἡ Κρητῶν σε Πάτερ Ὅσιε, κληρουχία φέρει χαίρουσα, ἐγκαυχωμένη, τοῖς ἐξαισίοις τῶν θαυμάτων σου.

Τίς ἐν συμφοραῖς, Θεοφόρε ἀπεκέχρητο τὴν παναγίαν σου ἐπίκλησιν, καὶ οὐκ εὐθέως ἐρρύσθη τῇ προστασίᾳ σου;

Θεοτοκίον.

Ὑετὸν ἡμῖν ἡ τεκοῦσα τὸν οὐράνιον, τὴν πανάθλίαν μου ὑέτισον ψυχὴν, τῇ δρόσῳ Ἁγνὴ τῶν θείων πράξεων.

Τῶν Ὁσίων. Ἐξέστη τὰ σύμπαντα.

Οἱ πόθῳ τὸ ὄνομα, ὑμῶν ἐπικαλούμενοι, οἱ ἐν τοῖς κινδύνοις, θεοφόροι, πάντες εὐθέως τὴν παρ' ὑμῶν ἀρωγὴν, πλουσίως λαμβάνουσι· διὸ νῦν τοὺς ἱκετεύοντας, τῶν δεινῶν ἐκλυτρώσασθε.

Μυρίζουσιν Ὅσιοι, τὰ λείψανα ὑμῶν ἀεὶ, κρίνα τοῦ ἀγροῦ ὥσπερ, Πατέρες· βρύοντα μῦρα ἐν τῇ σορῷ, ὡς πηγὴ, ἀκένωτα· ὅθεν ἐξ αὐτῶν, πάντες ἀρυσώμεθα, ἵνα λάβωμεν ἴασιν.

www.tezaurliturgic.ro

Ὁ βίος ὑμῶν ἔνθεος, τὰ ἔργα δὲ πανθαύμαστα, ἐξέστη τὰ σύμπαντα ὁρῶντα, ἐνσάρκους ὄντας, ὑμᾶς ἐν γῇ ὡς βροτὸν, ἄσαρκον νικῶντας τὸν ἐχθρὸν, καὶ στερρῶς ἐμμένοντας, τῇ ἀσκήσει σεβάσμιοι.

Θεοτοκίον.

Νῦν κράζοντα δέξαι με, βοῶντα μὴ ἀπώσῃ με, Παρθένε Μαρία μὴ παρίδῃς, τοῖς λυπηροῖς τε περιαντλούμενον, καὶ κατατρυχόμενον δεινῶς, τὸν πιστῶς προστρέχοντα, τῇ σῇ σκέπῃ Πανύμνητε.

Ὠδὴ ϛ΄. Τοῦ Ἁγίου. Ἱλάσθητί μοι Σωτήρ.

Λαμπρύνεται τῇ φαιδρᾷ, καὶ παμφαεῖ πανηγύρει σου, τὸ τῶν Κρητῶν μυστικῶς, φιλέορτον σύνταγμα, Ἰωάννη πάνσοφε, καὶ τοῖς τῶν θαυμάτων, ἐξαισίοις ἀγλαΐζεται.

Χερσὶ ποιμένος σοφὲ, θηρίον ὥσπερ τετόξευσαι, καὶ βέλος ἀγροικικὸν, οὐρανῶν ἀνέῳξε, τὰς πύλας σοι Ὅσιε, ἀσκητὰ καὶ Μάρτυς, Ἰωάννη παμμακάριστε.

Ὡς μέγαν ὡς θαυμαστὸν, προστάτην ἡμῶν τιμῶμέν σε, ὡς κορυφὴν ἀσκητῶν, καὶ θεῖον ὡραΐσμα τῶν Μαρτύρων σέβωμεν, Ἰωάννη Μάκαρ, Κυδωνίας τεῖχος ἄρρηκτον.

Θεοτοκίον.

Ὡς μόνην τῶν Σεραφεὶμ, ἐνδοξοτέραν ὑμνοῦμέν σε, εὐλογημένη Ἁγνὴ, Θεὸν γὰρ ἐγέννησας, ἀσπόρως Θεόνυμφε, ὥσπερ αἱ χορεῖαι, Προφητῶν σαφῶς προήγγειλαν.

Τῶν Ὁσίων. Τὴν θείαν ταύτην.

Ἀκούσαντες Πατέρες θεόσοφοι, τὸ λέγον, «ὅστις θέλει ὀπίσω μου», εὐθὺς ἐδράμετε, κόσμου ἀφέντες τὸ ἀμφίβληστρον, τοὺς μαθητὰς Κυρίου ὅλως μιμούμενοι.



Χριστοῦ τῷ ἔρωτι Ἅγιοι, τρωθέντες οὐ προείλεσθ᾽ ἐν σώματι, ζῆν ἀλλ᾽ ἐν πνεύματι· ὅθεν ὡς ἄλλοι Ἀπόστολοι, τὸ ζῆν ἐν ἡμῖν, Χριστὸς ἐκραυγάζετε.

Οὐκ εἴχετ᾽ ὅλως φιλόϋλον, πῦρ ἐν ὑμῖν ἀλλ᾽ ὕδωρ ἀλλόμενον· λιταῖς οὖν Κύριε, καὶ ἡμῖν ταῖς τῶν Ὁσίων σου, δὸς ἐκ τούτου, ἵνα μὴ διψήσωμεν.

Θεοτοκίον.

Σὲ μόνην φέρω Πανάχραντε, ἐλπίδα καὶ ἀσάλευτον στήριγμα, σὲ ἀπροσμάχητον, τεῖχος καὶ σκέπην καὶ φύλακα, καὶ σὲ ἐπικαλοῦμαι τὴν ἀειπάρθενον.

Κοντάκιον τοῦ Ἁγίου. Ἦχος δ΄. Ὁ ὑψωθείς.

Τῶν ἀσκητῶν τὴν καλλονὴν καὶ προστάτην, Κυδωνιαίων οἱ πιστοὶ ὁμοφρόνως, νῦν Ἰωάννην στέψωμεν γηθόμενοι, σήμερον ἀπαίρει γὰρ, πρὸς τὰς θείας ἐπαύλεις, δωρεὰν ἰάσεων, ἀπονέμων τοῖς πίστει, τὴν ἱερὰν πανήγυριν αὐτοῦ, ἐπιτελοῦσι, καὶ πόθῳ γεραίρουσι.

Ἕτερον τῶν Ὁσίων. Ἦχος γ΄. Ἡ παρθένος σήμερον.

Ἑορτάζει σήμερον, ἀγαλλομένη ἡ Κρήτη, ἑορτὴν ὑπέρλαμπρον, τῶν θεοφόρων Πατέρων, ἅπασαν προσκαλουμένη, πόλιν καὶ χώραν· Χαίρει γὰρ ὡς κεκτημένη, θησαυρὸν μέγαν, σορὸν θείαν τῶν λειψάνων, ὑμῶν πατέρες, Κρήτης τὸ καύχημα.

Ὁ οἶκος.

Τοὺς τοῦ Κυρίου ἀσκητὰς, ἅπαντες, ὦ φιλέορτοι, συνελθόντες ᾀσματικῶς ἀνευφημήσωμεν. Οὗτοι γὰρ τὸ τοῦ Σωτῆρος ἐλαφρὸν φορτίον ἐπ᾽ ὤμων ἀράμενοι, καὶ τὴν γηρὰν ἀπόλαυσιν ἀπωσάμενοι, τῷ τὰς ἡμῶν ἁμαρτίας ἐν Σταυρῷ καθηλώσαντι, εὐθαρσῶς ἠκολού-

www.tezaurliturgic.ro



θησαν, καὶ τὰ πάθη νεκρώσαντες τοῦ σώματος, τὴν ψυχὴν ἀπηφθάρτισαν, καὶ συμπολῖται τῶν τῷ Χριστῷ εὐαρεστησάντων ἐγένοντο· διὸ πρεσβεύουσι τῷ Σωτῆρι διηνεκῶς, εἰρήνην σταθερὰν δωρηθῆναι τῷ κόσμῳ παντί, καὶ τὸ μέγα ἔλεος, τοῖς τούτους ἐκ πόθου γεραίρουσι.

## Τῇ 7 Ὀκτωβρίου μνήμην ἐπιτελοῦμεν τῶν Ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, Ἰωάννου τοῦ Ἐρημίτου καὶ τῶν συνασκησάντων αὐτῷ 98, τῶν ἐν τῇ Κρήτῃ λαμψάντων.

Τέλος ἔλαβον οἱ Πατέρες ἐν Κρήτῃ,
Ὡς ἀστέρες λάμψαντες ἐν τῇ ἐρήμῳ.
Δεῦτε πρὸς ἡμᾶς, εἰς τὰ τερπνὰ τοῦ πόλου,
Τῶν Πατέρων λέγουσιν οἱ τερπνοὶ νόες.
Ἑβδομάτῃ Ὀκτωβρίου μῦσε χαριτώνυμος Ἰωάννης

Οὗτος ὁ ὅσιος Πατὴρ ἡμῶν Ἰωάννης, ἦτον γέννημα καὶ θρέμμα τῆς Αἰγύπτου, μετὰ καὶ ἄλλων τριάκοντα πέντε ὁσίων, οἵτινες ἀναχωρήσαντες δι' ἀγάπην Χριστοῦ ἀπὸ τὴν πατρίδα των, ἦλθον εἰς τὴν Κύπρον, καὶ ἐκεῖ εἰς ὀλίγον καιρὸν διεδόθη ἡ φήμη αὐτῶν καθ' ὅλην τὴν νῆσον, καὶ συνέτρεχον πολλοὶ ὠφελούμενοι ὑπὸ τῶν ὁσίων ψυχικῶς καὶ σωματικῶς· διότι πολλοὶ ἀσθενεῖς καὶ κακῶς ἔχοντες ἐθεραπεύοντο. Ἐν τῇ αὐτῇ δὲ νήσῳ τῆς Κύπρου εὑρίσκοντο καὶ ἄλλοι τριάκοντα ἐννέα Πατέρες, εἰς διαφόρους τόπους ἀσκητικῶς πολιτευόμενοι, οἱ ὁποῖοι ἀκούσαντες τὴν ἀρετὴν τῶν ὁσίων τούτων τῶν ἐξ Αἰγύπτου ἐλθόντων, ἐπῆγαν καὶ αὐτοί, καὶ ἡνώθησαν ὅλοι, ζῶντες ζωὴν ἐνάρετον καὶ ἀσκητικήν· ἀναχωρήσαντες δὲ ἔπειτα ἀπὸ τὴν Κύπρον, ἦλθαν εἰς τὴν Ἀττάλειαν, ὅπου εὗρον ἄλλους



εἴκοσι τέσσαρας Μοναχοὺς (1), μετὰ τῶν ὁποίων ἡνώθησαν, καὶ οὕτως ἔγεινεν ὁ χορὸς τῶν ὁσίων Πατέρων ἐννενήκοντα ἐννέα· ἔχοντες δὲ καὶ τὸν Χριστὸν ὡς κεφαλήν, ἀπετέλουν πλήρη ἑκατοντάδα. Ἀφοῦ δὲ ἔκαμαν μερικὸν καιρὸν ἐκεῖ εἰς τὴν Ἀττάλειαν, παρεκάλουν τὸν Θεὸν νὰ τοὺς ὁδηγήσῃ εἰς τόπον ἁρμόδιον, διὰ νὰ ἀποφύγουν τὴν δόξαν καὶ τὸν ἔπαινον τῶν ἀνθρώπων. Βλέπων δὲ ὁ Θεὸς τὸν πόθον ὅπου εἶχον νὰ ἡσυχάσουν, ὡδήγησεν αὐτοὺς νὰ ἀναχωρήσουν ἀπὸ τὴν Ἀττάλειαν, καὶ νὰ ἔλθουν εἰς Κρήτην. Ἐμβάντες λοιπὸν ὅλοι εἰς ἕνα πλοῖον, ἦλθον εἰς ὀλίγας ἡμέρας εἰς τὴν ποθουμένην αὐτῶν Κρήτην· ἔτυχεν ὅμως ἐναντίος ὁ ἄνεμος, ἀφοῦ ἐπλησίασαν, καὶ διὰ τοῦτο δὲν ἠδυνήθησαν νὰ προσορμισθοῦν ἐκεῖ· μάλιστα ἐκινδύνευσε νὰ συντριφθῇ τὸ πλοῖον· καὶ ταῦτα ὅλον ἔγεινεν, ἵνα δείξῃ ὁ Θεὸς τὴν δύναμίν του εἰς τοὺς Κρητικούς, καὶ ὅτι δύναται νὰ βοηθῇ τοὺς δούλους του, μᾶλλον μὲ κομμάτι ῥάβδου καὶ ῥάσου (καθὼς θέλετε ἀκούσει ὅτι ἔκαμεν εἰς τὸν ὅσιον Ἰωάννην), παρὰ ὅσον δύναν-
ται νὰ βοηθοῦν ξίφη καὶ ἀκόντια εἰς τὰ ὁποῖα οἱ Κρη-
τικοὶ εἶχον τότε τὸ θάρρος των. Ἐπειδὴ λοιπὸν δὲν ἠδύναντο, ἀπὸ τὸν πολὺν ἄνεμον νὰ προσορμισθοῦν εἰς τὴν Κρήτην, ἔδραμον εἰς τὸ ἀντίπεραν Νησίδιον, ὀνομαζόμενον Γαῦδος τὸ ὁποῖον εἶναι μακρὰν ἀπὸ τὴν Κρήτην μίλια τεσσαράκοντα, καὶ ἐκεῖ ἔκαμαν ἡμέρας εἰκοσιτέσσαρας· εἶτα γενομένης γαλήνης, ἐμβῆκαν πάλιν εἰς τὸ πλοῖον καὶ ἦλθον εἰς τὴν Κρήτην. Θέλων ὅμως ὁ Θεὸς νὰ δοξάσῃ τὸν Ἅγιον Ἰωάννην, καὶ νὰ φανερώσῃ εἰς τοὺς ἀνθρώπους τὴν ἀρετήν του, καὶ δὲν τὸν εἶδον τὸν ἐσκέπασεν ἐκεῖ ὁποῦ ἐκοιμᾶτο,

(1) Ἄδηλος ὁ χρόνος καθ' ὃν ἤκμασαν οἱ ὅσιοι οὗτοι· συμπεραίνεται ὅμως ἀπὸ τὴν παράδοξον αὐτῶν ἱστορίαν, ὅτι εἶναι παλαιότατοι.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

www.tezaurliturgic.ro



οἱ ἄλλοι ἀδελφοί, ὅταν ἀνεχώρησαν, καὶ οὕτως ἔμεινεν ἐκεῖ εἰς τὴν Γαῦδον· Ἀφοῦ λοιπὸν ἐξῆλθον οἱ εὐλογημένοι Πατέρες εἰς τὴν Κρήτην, ἀνεζήτησαν τὸν Ἰωάννην, καὶ μὴ εὑρόντες αὐτόν, ἐνόησαν ὅτι ἔμεινεν εἰς τὴν Γαῦδον, καὶ σταθέντες μετὰ μεγάλης καὶ ἀδιστάκτου πίστεως πρὸς τὸν Θεόν, ἐφώναξαν ἀπὸ τὴν Κρήτην εἰς τὴν Γαῦδον. «Ἀδελφὲ Ἰωάννη, ἐλθὲ πρὸς ἡμᾶς ἀφόβως, καὶ μὴ δειλιάσῃς» ἔρχεται λοιπὸν ὁ Ἅγιος Ἰωάννης εἰς τὸν αἰγιαλόν, καὶ προσευξάμενος, καὶ εἰπὼν τὸ Ἅγιον Σύμβολον τῆς Πίστεως, καὶ ἄλλα κατανυκτικά, ψαλμοὺς καὶ τροπάρια, καὶ σφραγίσας τὴν θάλασσαν μὲ τὸ σημεῖον τοῦ Σταυροῦ, ἥπλωσε τὸ ῥάσον του ἐπάνω εἰς τὰ ὕδατα· ποιήσας δὲ ἔπειτα καὶ εἰς τὸν ἑαυτόν του τὸ σημεῖον τοῦ Σταυροῦ, ἀνέβη καὶ ἐκάθισεν ἐπάνω εἰς τὸ ῥάσον του, ὡς ἐπὶ πλοίου, καὶ προσευχόμενος αὐτὸς ἐν τῇ θαλάσσῃ, καὶ οἱ ἄλλοι ἀδελφοὶ ἐν τῇ ξηρᾷ, ἤρχισε νὰ πλέῃ ἀπὸ τῆς τρίτης ὥρας τῆς ἡμέρας, καὶ ἕως τῆς ἕκτης ἔφθασεν ἀβλαβὴς (ὢ τοῦ θαύματος!) εἰς τὴν Κρήτην, καὶ λαβὼν τὴν δεξιὰν τοῦ πρώτου τῶν ἀδελφῶν, ἐξῆλθεν ἔξω, ὅπου ἀσπαζόμενοι αὐτὸν ἅπαντες οἱ ἀδελφοί, ἔψαλλον· «Τῷ συνδέσμῳ τῆς ἀγάπης συνδεόμεναι οἱ ἀνάξιοι, τῷ δεσπόζοντι τῶν ὅλων, ἑαυτοὺς Χριστῷ ἀνεθέμεθα, εὐαγγελιζόμενοι πᾶσιν εἰρήνην». Παράδοξον φαίνεται τοῦτο τὸ θαῦμα, δὲν εἶναι ὅμως καὶ ἀνώτερον ἀπὸ τὴν δύναμιν τῆς Πίστεως, ἐπειδὴ οὕτως ὑπόσχεται ὁ ποιητὴς τῆς κτίσεως Χριςὸς, εἰς τοὺς πρὸς αὐτὸν πιστεύοντας· «ὁ πιστεύων εἰς ἐμέ, τὰ ἔργα »ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων »ποιήσει»· καὶ «ἐὰν ἔχητε πίστιν ὡς κόκκον συνάπεως, »ἐρεῖτε τῷ ὄρει τούτῳ, ἄρθητι καὶ βλήθητι εἰς τὴν »θάλασσαν, καὶ ἀρθήσεται καὶ βληθήσεται».



Ἀφοῦ λοιπὸν εὐφράνθησαν οἱ Ἅγιοι Πατέρες εἰς τὸν θαυμαστὸν ἔρχομὸν τοῦ Ὁσίου Ἰωάννου ἀπὸ τὴν Γαῦδον εἰς τὴν Κρήτην, ἀνέβησαν ἐπάνω εἰς τὰ ὄρη πρὸς τὸ Νότιον μέρος τῆς Κρήτης, διὰ νὰ εὕρουν σπήλαια πρὸς κατοικίαν· καὶ εὗρον τὸ ποθούμενον εἰς τὸ μέρος, ὅπου ὀνομάζεται τῆς μεγάλης Πέτρας τοῦ χάρακος, εἰς χωρίον λεγόμενον Ἀζωγυρέα; καὶ ἐκεῖ ἔμειναν ἡσυχάζοντες, καὶ προσευχόμενοι· ἡ δὲ τροφὴ αὐτῶν ἦτον ἀπὸ σκηνόκαρπον καὶ κεράτια, καὶ χορτάρια τῆς γῆς· ἀλλ' ἐπειδὴ καὶ τὸ σπήλαιον ἦτο μικρὸν, καὶ δὲν ἐχώρουν ὅλοι, ἐμοιράσθησαν εἰς δύω, καὶ οἱ μὲν τριάκοντα ἓξ ἐπέρασαν ἀντίπερα τοῦ ποταμοῦ εἰς ἕνα σπήλαιον, οἱ δὲ λοιποὶ ἔμειναν εἰς τὸ πρῶτον σπήλαιον ἕως τέλους τῆς ζωῆς των. Ὁ δὲ Ἅγιος Ἰωάννης φιλήσυχος ὢν καὶ τῆς μονώσεως ἐραστὴς, διὰ νὰ προσεύχεται μόνος μόνῳ τῷ Θεῷ, ἐφανέρωσεν εἰς τοὺς ἀδελφοὺς τὴν γνώμην του ταύτην, καὶ ἐζήτει συγχώρησιν νὰ ἀναχωρήσῃ· οἱ δὲ ἀδελφοὶ ἀκούσαντες τοῦτο ἐλυπήθησαν πολλά, ἀλλὰ βλέποντες τὸ ἀμετάθετον τῆς γνώμης του, ἔδωκαν εἰς αὐτὸν τὴν ἄδειαν, καὶ μὴ θέλοντες, νὰ ἀναχωρήσῃ, καὶ ποιήσαντες παράκλησιν καὶ προσευχὴν, ἔλεγον προσευχόμενοι τάδε· «Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, »ἐπειδὴ καὶ ὁ Ἰωάννης ὁ ἡμέτερος ἀδελφός, μέλλει νὰ »ἀναχωρήσῃ ἀπὸ ἡμᾶς, ὁδήγησον αὐτόν, νὰ περάσῃ »τὴν ζωήν του ἐν εἰρήνῃ καὶ ἡσυχίᾳ, καὶ ἀξίωσον ἡμᾶς, »Δέσποτα τῶν ἁπάντων, τὴν ἡμέραν ὅπου ἡ χάρις »σου εὐδοκήσει νὰ πληρώσῃ ὁ εἷς ἐξ ἡμῶν τὸ τέλος »τῆς παρούσης ζωῆς, ἐν τῇ αὐτῇ ἡμέρᾳ, ἀξίωσον ἡμᾶς »Δέσποτα, νὰ δώσωμεν ὅλοι τὸ κοινὸν χρέος τοῦ θα»νάτου, καὶ σύνταξον ἡμᾶς σὺν αὐτῷ εἰς τὴν οὐράνιον »σου βασιλείαν· Ἀμήν»· καὶ μετὰ τὴν εὐχὴν βαλὼν ὁ ὅσιος Ἰωάννης μετάνοιαν, ἀνεχώρησεν ἀπὸ τῆς ἀ-

www.tezaurliturgic.ro

δελφότητος. Καὶ τίς δύναται νὰ εἴπῃ, τὰς κακοπαθείας
εἰς τὰς ὁποίας ὑπέβαλλεν ἑαυτὸν εἰς ἐκεῖνον τὸν τόπον,
ὅπου ἐπῆγε νὰ ἀσκητεύσῃ; ἡ τροφή του ἦτον, τὸν μὲν
χειμῶνα ἀπὸ τὰ χόρτα τῆς γῆς, τὸ δὲ καλοκαῖρι ἀπὸ
σκηνόκαρπον καὶ ἀγριοκεράτια καὶ ἔζη ζωὴν ἀγγελι-
κὴν, μὲ ὁλονυκτίους προσευχὰς, ὑπὲρ αὐτοῦ, καὶ ὑπὲρ
τοῦ κόσμου παντός· ἀπὸ δὲ τὴν πολλὴν σκληραγωγίαν
ὅπου ἔκαμεν, ἀδυνάτησε τόσον, ὥστε δὲν ἠδύνατο νὰ
ἵσταται ὄρθιος ἀλλ' ἐπεριπάτει κυρτός· μιᾷ δὲ τῶν
ἡμερῶν τῇ ἕκτῃ Ὀκτωβρίου, ὅτε καὶ ὁ Θεὸς ἔμελλε
νὰ τὸν παραλάβῃ, καὶ νὰ τὸν ἀναπαύσῃ εἰς τὴν οὐρά-
νιον ἀνάπαυσιν, ἐξῆλθε νὰ εὕρῃ τὴν συνειθισμένην του
τροφήν, καὶ ἐκεῖ ἐνῷ ἐπεριπάτει κυρτός, τὸν εἶδεν ἀπὸ
μακρὰν ἕνας νέος, ποιμὴν προβάτων, ὅστις εἶχεν ἐξέλθει
τὴν ὥραν ἐκείνην εἰς τὸ κυνῆγι, καὶ νομίζων ὅτι ἦτο
ζῶον, ἔρριψε κατ' αὐτοῦ τὸ βέλος καὶ τὸν ἐπλήγωσε
καιρίως εἰς τὴν καρδίαν· καὶ εὐθὺς ὁ Ἅγιος γνωρίσας
ὅτι τὸν ἐθανάτωσε τὸ βέλος, ἔκαμε προσευχὴν εἰς τὸν
Θεὸν, νὰ τὸν ἀξιώσῃ νὰ φθάσῃ ζῶν εἰς τὸ σπήλαιον· ὃ
καὶ ἐγένετο.

Ὁ δὲ ποιμὴν ὁποῦ ἐπλήγωσε τὸν Ἅγιον, ἔτρεξε νὰ
εὕρῃ καὶ νὰ πάρῃ τὸ κυνῆγι, ὁποῦ, ὡς ἐνόμιζεν, ἐφό-
νευσε, πλὴν δὲν τὸ εὕρηκε· βλέπει ὅμως σταγόνας αἵ-
ματος, καὶ παρακολουθῶν αὐτάς, ἦλθεν εἰς τὸ σπή-
λαιον, καὶ ἔφθασε τὸν Ἅγιον ἔτι ζῶντα, καὶ ἔχοντα
τὰς χεῖράς του δεμένας σταυροειδῶς, καὶ τὸ βέλος
εἰς τὴν καρδίαν του, καὶ εὐθὺς πίπτει κατὰ γῆς ἀσπα-
ζόμενος τοὺς πόδας τοῦ Ἁγίου, καὶ κλαίων καὶ ὀδυ-
ρόμενος, ἔλεγεν· ἀλλοίμονον εἰς ἐμὲ τὸν ταλαίπωρον,
τί ἔπαθον σήμερον! φεῦ μοι τῷ ἀθλίῳ! πῶς ἐτυφλώ-
θην, καὶ ἔγεινα φονεὺς εἰς ἄνδρα δίκαιον καὶ Ἅγιον!
τί νὰ γίνω! τί νὰ κάμω! δὲν ἔχω ποῦ νὰ προσδράμω,
εἰμὴ μόνον πρὸς σὲ, Ἅγιε δοῦλε τοῦ Θεοῦ, νὰ μοῦ συγ-



χωρήσῃς τὸ σφάλμα, καὶ νὰ παρακαλέσῃς τὸν Θεὸν,
νὰ μὲ ὁδηγήσῃ εἰς μετάνοιαν· ταῦτα καὶ ἄλλα πολλὰ
λέγοντος τοῦ ποιμένος μετὰ δακρύων, λέγει πρὸς αὐ-
τὸν ὁ Ἅγιος μὲ ταπεινὴν καὶ ἤρεμον φωνήν· «ὁ Θεὸς,
τέκνον μου, νὰ σοῦ δώσῃ μετάνοιαν καὶ νὰ σοῦ συγχω-
ρήσῃ τὸ ἁμάρτημα, ὅπου ἔκαμες σήμερον εἰς ἐμὲ τὸν
ἀνάξιον αὐτοῦ δοῦλον, καὶ νὰ σὲ ἀξιώσῃ τῆς βασιλείας
του· Ἀμήν·» ἔπειτα θέλων νὰ ἀναχωρήσῃ ὁ νέος δὲν
ἐδύνατο ἀπὸ τὴν τόσην εὐωδίαν καὶ ψαλμῳδίαν τῶν
Ἁγίων Ἀγγέλων ὁποῦ ἤκουεν ἄνωθεν πέριξ τοῦ Ἁγίου
λειψάνου· ὅμως μετὰ πολλὴν ὥραν, νεύσει θείᾳ, ἐξῆλ-
θεν ἔξω τοῦ σπηλαίου, διὰ νὰ τὸν κηρύξῃ εἰς ὅλην
τὴν περίχωρον τῶν Χανίων, καὶ κηρύττων τὸν Ἅγιον,
ἔλεγε φανερὰ καὶ τὸ σφάλμα του, καὶ εἰς ὀλίγας ἡμέ-
ρας ἀκουστὸν ἐγένετο τὸ ὄνομα τοῦ Ἁγίου εἰς ὅλην
τὴν Κρήτην, καὶ ἐπορεύετο πλῆθος λαοῦ, καὶ ἐπροσκύ-
νουν αὐτόν, καὶ ὅλοι οἱ μετὰ πίστεως προσερχόμενοι εἰς
προσκύνησίν του, ἐλάμβανον τῶν παθῶν αὐτῶν τὴν ἴα-
σιν· καὶ οὕτω μὲν ὁ θεῖος Ἰωάννης, ἐτελείωσε τὴν παροῦ-
σαν ζωήν, μὲ βίαιον θάνατον τῇ ϛ'. τοῦ Ὀκτωβρίου· οἱ δὲ
λοιποὶ ἐννενήκοντα ὀκτὼ συνασκηταί του, εὑρισκόμενοι
εἰς τὰ ἄνω εἰρημένα σπήλαια τοῦ χωρίου Ἀζωγυρέα, κα-
θὼς προείπομεν, ὅτι ἐζήτησαν, ἀπὸ τὸν Θεὸν νὰ ἀναπαυ-
θοῦν ὅλοι μίαν ἡμέραν, οὕτω καὶ ἐγένετο· διότι τὴν ἰδίαν
ἡμέραν ὁποῦ ὁ ποιμὴν ἐφόνευσε τὸν Ὅσιον Ἰωάννην εἰς
τὸ Ἀκρωτήριον, εἰς αὐτὴν τὴν ἰδίαν ἀνεπαύθησαν ἐν Κυ-
ρίῳ καὶ αὐτοὶ ὅλοι, εἰς τὰ σπήλαια τῆς Ἀζωγυρέας· καὶ
καθὼς εἶναι παλαιὰ παράδοσις εἰς τοὺς ἐντοπίους, ἄλ-
λοι ἐστηρίζοντο ἐπάνω εἰς τὰς ράβδους των, ἄλλοι
ἔκλινον τὰς κεφαλὰς εἰς τοὺς ὤμους τους, ἄλλοι ἵσταντο
προσευχόμενοι, καὶ ἄλλοι γονατιστοὶ, καὶ ἄλλοι ἄλ-
λως, παρέδωκαν ἐν εἰρήνῃ τὰς μακαρίας αὐτῶν ψυχὰς τῷ
Κυρίῳ, ἀρξάμενοι ἀπὸ τῆς τρίτης ὥρας τῆς ἡμέρας, καὶ

www.tezaurliturgic.ro

τελευτήσαντες ἕως τῆς ἑβδόμης. Παράδοξον φαίνεται πῶς τόσοι ἄνθρωποι ἀπέθανον εἰς μίαν καὶ τὴν αὐτὴν ἡμέραν· ἀλλὰ πρὸς τούτοις θαυμαστὸν εἶναι, πῶς τόση πληθύς, ἐννενήκοντα ἐννέα ἄνθρωποι, ἐσώθησαν καὶ ἡγίασαν ὅλοι, καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο. δώδεκα ἦσαν οἱ μαθηταὶ τοῦ Χριστοῦ, καὶ ἀπώλετο ἐξ αὐτῶν ὁ Ἰούδας ὁ υἱὸς τῆς ἀπωλείας· τεσσαράκοντα ἦσαν οἱ ἐν Σεβαστείᾳ τῇ λίμνῃ ἀθλήσαντες, καὶ ἀπώλετο ἐξ αὐτῶν ὁ εἷς· οὗτοι ὅμως ἅπαντες ἐσώθησαν καὶ ἐκοιμήθησαν ὡς εἴρηται, τῇ ϛ΄. τοῦ Ὀκτωβρίου μηνός, εἰς τὴν ὁποίαν ἡμέραν, ἑώρταζον καὶ τὴν μνήμην αὐτῶν, μέχρι τοῦ 1632 ἔτους ἀπὸ Χριστοῦ. Ἔπειτα, μὲ τὸ νὰ εἶναι ἡ μνήμη τοῦ Ἁγίου ἐνδόξου καὶ πανευφήμου Ἀποστόλου Θωμᾶ, τῇ αὐτῇ ἡμέρᾳ, μετετέθη εἰς τὴν ἑβδόμην τοῦ αὐτοῦ μηνός, διὰ Συνοδικῆς καὶ Πατριαρχικῆς Ἀποφάσεως, τοῦ ἐν μακαρίᾳ τῇ λήξει γενομένου Πατριάρχου Κωνσταντινουπόλεως Κυρίλλου τοῦ πρώην Ἀλεξανδρείας Λούκαρη ἐπιλεγομένου τοῦ Κρητός· ὅθεν καὶ ὡς κεκυρωμένης ὑπὸ Συνοδικῆς Ἀποφάσεως τῆς ἀσκήσεως καὶ ὅλης αὐτῶν τῆς ἱστορίας καὶ ἁγιότητος, δὲν μένει εἰς τινα κἀμμία ἀμφιβολία, διὰ τὰ παραδόξως λεγόμενα περὶ αὐτῶν· καὶ μάλιστα ὁποῦ θαυματουργοῦσι καθ' ἑκάστην καὶ ἐν γῇ καὶ ἐν θαλάσσῃ εἰς τοὺς μετὰ πίστεως ἐπικαλουμένους αὐτῶν τὴν βοήθειαν. (1)

Ταῖς τῶν σῶν Ὁσίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς· Ἀμήν.

---

(1) Ἐκ τῶν ὁσίων τούτων εὑρίσκεται μία κάρα θαυμασίως εὐωδιάζουσα ἐν Χίῳ ἐν τῷ Ναῷ τοῦ Ἁγίου Βίκτωρος, καὶ λέγουσιν, ὅτι εἶναι τοῦ Ἰωάννου.



Ὠδὴ ζ΄. Τοῦ Ἁγίου. Παῖδες Ἑβραίων.

Μέλη σαρκὸς καταμαράνας, τῆς ἀσκήσεως τοῖς πόνοις Θεοφόρε, καὶ ψυχὴν πρὸς ὁδὸν ἰθύνας Παραδείσου, εὐλογητὸς κραυγάζεις νῦν, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ἄλσεσι Πάτερ διατρίβων, ὡς φιλέρημος τετόξευσαι ὡς ζῶον· καὶ τῶν γῆθεν λυθείς, ἀπαίρεις πρὸς τὰ ἄνω, ἔνθα φαιδρῶς ἀκούεται, ἦχος τῶν ἑορταζόντων.

Ῥάως πληροῖς τὰς ἱκεσίας, τῶν αἰτούντων σου παμμάκαρ Ἰωάννη, τὴν φαιδρὰν ἀρρωγήν, ἐν γῇ καὶ ἐν θαλάσσῃ, ὡς παρρησίαν κτώμενος, πρὸς Χριστὸν τὸν ζωοδότην.

Θεοτοκίον

Κλίνην λυχνίαν καὶ παστάδα, σὲ προέγραψε τῶν Προφητῶν τὸ στίφος, καὶ χρυσῆν κιβωτόν· ἡμεῖς δὲ σοὶ βοῶμεν, χαῖρε Ἁγνὴ Πανάμωμε, τῶν πιστῶν ἡ σωτηρία.

Τῶν Ὁσίων. Οὐκ ἐλάτρευσαν.

Γέρας δόξαντε, τιμὴν καὶ πλοῦτον ῥέοντα, ἐγκατελίπετε, πρὸς τὸν Χριστὸν ἀκλινῶς, ἀεὶ ἀτενίζοντες καὶ πόθῳ ψάλλοντες· ὑπερύμνητε, ὁ τῶν πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Βασιλεία ἡ οὐράνιος θεόφρονες, ὑμῖν δεδώρηται, ἀντὶ ἀγώνων πολλῶν, ἐν οἷς διηγάγετε ζωῆς τὸ στάδιον, διὸ ψάλλετε· ὁ τῶν πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ἀρρωστίας ψυχικῆς κατατρυχούσης με, δεινῆς μακάριοι, ταῖς ἱκεσίαις ὑμῶν, ταχέως λυτρώσατε, ὅπως κἀγὼ μελῳδῶ· ὑπερύμνητε, ὁ τῶν πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ῥῦσαι Δέσποτα, πρεσβείαις τῆς τεκούσης σε, τὸν πανοικτίρμονα, καὶ ἀγαθὸν Λυτρωτήν, ἐκ πάσης με

www.tezaurliturgic.ro

θλίψεως, καὶ τοῦ ἀσβέστου πυρός, τὸν ἀνάξιον· ὅπως δοξάζω πάντοτε, τὴν πολλήν σου εὐσπλαγχνίαν.

Ὠδὴ η'. Τοῦ Ἁγίου. Ἑπταπλασίως κάμινον.

Ὄρη βουνοὺς καὶ φάραγγας, διελθὼν Πάτερ Ὅσιε, μόνῳ τῷ Θεῷ εὐαρεστῶν ἑκάστοτε, εἰς ὅρος κατήντησας τῶν ἀρετῶν καὶ γέγονας, μέγας βοηθὸς τῶν σὲ τιμώντων παμμάκαρ, ἐκ πόθου καὶ βοώντων· ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Σμῆνος λιπὼν Μακάριε, ἅτε σφόδρα φιλήσυχος, τῶν συνασκητῶν ἐπὶ τὰ λίαν δύσβατα, ὀρέων διέδραμες τῆς νήσου διαιτώμενος, τοῖς ἀλσωδεστάτοις, καὶ πετρώδεσιν ἄντροις, κραυγάζων ἀσιγήτως, ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Χαριεστάτην σήμερον, ἑορτὴν οἱ φιλέορτοι, ἐν τῇ πρὸς Θεόν, σοῦ Μεταστάσει Ὅσιε, τελοῦμεν δοξάζοντες, Χριστὸν τὸν σὲ δοξάσαντα καὶ ἐν κατανύξει, ἀεννάως βοῶμεν· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἀπειρογάμως τέτοκας, τὸν Δεσπότην καὶ Κύριον, τὸν πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς ἐκλάμψαντα, ὃν νῦν ἐκδυσώπησον, ὡς παρρησίαν ἔχουσα, τῶν ἁμαρτιῶν μου τὸ ἀμέτρητον πλῆθος, κουφίσαι, καὶ εἰς πλάτος Παραδείσου εἰσάξαι, Παρθένε Θεοτόκε εὐλογημένη Κόρη.

Τῶν Ὁσίων. Παῖδας εὐαγεῖς.

Ἵνα τὸν Χριστὸν μόνον, τὸν Κτίστην, τῶν ὅλων καὶ Βασιλέα πάσης κτίσεως, κερδίσητε μακάριοι, τὰ πάντα ὥσπερ σκύβαλα, ἡγήσασθε ἑπόμενοι Παύλου τοῖς ἴχνεσι, μεθ' οὗ νῦν, τὸν Δεσπότην ὁρᾶτε, ἐν τῇ ἀθανάτῳ μονῇ ἀκαταπαύστως.



Ἤρθητε Πατέρες εἰς τὸ ὕψος, τὸ μέγα τῶν ἀρετῶν, ἐκτιναξάμενοι, ὕλην τὴν ὀλέθριον, ὅθεν καὶ ὁ Ὕψιστος, Θεὸς τὴν ἄνω οἴκησιν, ὑμῖν δεδώρηται· ὃν χαίροντες, ἀπαύστως ὑμνεῖτε, μετὰ τῶν Ἀγγέλων καὶ πάντων τῶν Ἁγίων.

Λάμψον Θεαρχία ταῖς καρδίαις, τρισήλιε πάντων τῶν ὑμνούντων σε, καὶ ἡμᾶς ἀξίωσον, τὴν ἀπερίοριστον, πανευλαβῶς καὶ ἄναρχον σέβειν ἑκάστοτε, οὐσίαν, ἣν καὶ νῦν προσκυνοῦμεν, καὶ δοξολογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Οἴμοι, ὦ ψυχή μου παναθλία, τῷ ζόφῳ τῆς ἁμαρτίας, ὅλη πάντοτε, ἀναίσθητος κατάκεισαι! ἕως καιρὸς ἐπίστρεψον, καὶ τῷ Σωτῆρι βόησον· σῶσόν με Κύριε, μητρός σου, τῆς παναγνοῦ πρεσβείαις, ἵνα σε δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Τοῦ Ἁγίου. Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανός.

Μεγίστας ἀντιδόσεις παρὰ Θεοῦ, Ἰωάννη Παμμάκαρ ἀπείληφας, πόνων τῶν σῶν, πᾶσι ἐν θαλάσσῃ τε καὶ ἐν γῇ, διηνεκῶς προΐστασθαι, καὶ λυτροῦσθαι τούτους ἐκ συμφορῶν, εἰ μόνον ἐκ καρδίας, πιστῶς ἐπικαλοῦνται, σὲ τὸν ἀπαύστως προστατεύοντα.

Ἐξέστησαν Ἀγγέλων αἱ στρατιαί, καθορῶσαι τὴν σὴν ὑπερθαύμαστον διαγωγήν, σάρκα γὰρ φερόμενος ὑλικήν, τοὺς ἀσωμάτους ἔφθασας, τῇ ὑπεραύλῳ καὶ θαυμαστῇ, Πάτερ ἀκτημοσύνῃ, ἡ Οὐρανῶν τὰς πύλας, ἀνεμποδίστως σοὶ ἀνέῳξε.

Τίς ἄρα οὐκ ἐξέστη Πάτερ βροτῶν, τῷ φρικώδει καὶ θείῳ θεάματι, μιᾷ ῥοπῇ πλῆθος ἀναλῦσαι συνασκητῶν, ἐν διαφόροις ὄρεσιν, ἐνδιατριβόντων, καὶ πρὸς μονὴν, μίαν κατοικισθῆναι, σὺν σοὶ τῆς ἄνω δόξης· ὡς θαυμαστὸς εἶ ἐν Ἁγίοις Χριστέ.

www.tezaurliturgic.ro

Ηὐλίσθης πρὸς τὰς ἄνω Πάτερ σκηνάς, τοῖς τιμῶσί σε νέμων ἑκάστοτε, λύσιν κακῶν, ἴασίν τε σώματος καὶ ψυχῆς, διὸ Κρητῶν ἀγλαΐσμα, κἀμοῦ τὸ δυσίατον τῶν παθῶν, θεράπευσον καὶ δέξαι, τόν δε τὸν αἶνον ὥσπερ, τὴν τοῦ τοξεύσαντος μετάνοιαν.

Θεοτοκίον.

Σωτῆρα ἡ τεκοῦσα καὶ λυτρωτήν, τῶν ἀνθρώπων Παρθένε Πανάμωμε, ῥῦσαι ἡμᾶς, πάσης ἐπηρείας τοῦ πονηροῦ, καὶ πρὸς τὰς θείας ἴθυνον, τρίβους Θεοτόκε σοὺς ὑμνητάς, ἵνα σοι κατὰ χρέος, τὸ χαῖρε τοῦ Ἀγγέλου, ἐν πίστει μέλπωμεν σωζόμενοι.

Τῶν Ὁσίων. Ἅπας γηγενής.

Ῥῶσιν τῆς ψυχῆς, Χριστὲ καὶ τοῦ σώματος πᾶσι τοῖς κάμνουσι, δὸς ὁ διὰ ἔλεος, πολὺ τὸν κόσμον φθορᾶς ῥυσάμενος, ταῖς ἱεραῖς δεήσεσι τῶν θεραπόντων σου, εὐμενής τε, φάνηθι τοῖς κράζουσιν, ἐκ καρδίας θερμῆς τὸ, ἱλάσθητι.

Ὄρη καὶ βουνοί, πεδία καὶ φάραγγες, Κρήτης αἰνέσατε, σήμερον τὸν Κύριον, τὸν δεδωκότα ἰσχὺν καὶ δύναμιν, τοῖς θεοφόροις ἄμαχον κατὰ τοῦ δράκοντος· τοῦ δολίου· οὗ καὶ ἡμᾶς λύτρωσαι, ταῖς λιταῖς τῶν ὁσίων σου Δέσποτα.

Τίς τῶν γηγενῶν, ἐξείπῃ, τὰ θαύματα ὑμῶν σεβάσμιοι; ὄντως ἀναρίθμητά, ἐστι καὶ θεῖα· ὅθεν ἀγάμενοι, τὴν ἱερὰν πανήγυριν ὑμῶν γεραίρομεν, μετὰ πόθου λύσιν ἐξαιτούμενοι, τῶν πολλῶν καὶ δεινῶν παραπτώσεων.

Ἡ Ζωαρχική, Τριὰς ὁ Θεὸς ἡμῶν, σῶσον τοὺς δούλους σου, καὶ ἐκ πάσης θλίψεως, πάντας συντήρει καὶ διαφύλαττε, ταῖς ἱεραῖς δεήσεσι τοῦ οὐρανόφρονος,



Ἰωάννου, καὶ τῶν ὀπαδῶν αὐτοῦ, ὧν τὴν μνήμην γεραίρομεν σήμερον.

Θεοτοκίον.

Σῶσόν με Ἁγνή, Θεὸν ἡ κυήσασα τὸν πανοικτίρμονα, κείμενον ἀνάστησον, εἰς χάος Δέσποινα τὸν ἀνάξιον, τῶν ἀνυποίστων θλίψεων καὶ τῆς κολάσεως, τοῦ ἀσβέστου, πυρὸς μὲ ἐξάρπασον, ἵνα πίστει καὶ πόθῳ δοξάζω σε.

## Ἐξαποστειλάριον.

Τοῦ Ἁγίου. Γυναῖκες ἀκουτίσθητε.

Τὸ θεῖον ἐγκαλλώπισμα, τῶν ἀσκητῶν τιμήσωμεν, Κρητῶν τὸν ἄσυλον πλοῦτον, τὸν Πάνσοφον Ἰωάννην, Κυδωνιῶν κραταίωμα· διπλοῦν γὰρ στέφος εἴληφε, δισσῶς πολιτευσάμενος, ἀθλητικῶς καὶ ὁσίως, ὅθεν ἀξίως τιμᾶται.

Ἕτερον τῶν Ὁσίων. Ὅμοιον.

Πατέρες παμμακάριστοι, τῆς Κρήτης τὸ κραταίωμα, Κυδωνιέων τὸ κλέος, καὶ ἰατροὶ τῶν νοσούντων, τὰ πάθη θεραπεύσατε, ἐμῆς ψυχῆς καὶ σώματος, καὶ πρὸς ζωὴν τὴν κρείττονα, καθοδηγήσατε πάντας, τοὺς ἑορτάζοντας πόθῳ.

Θεοτοκίον.

Παρθένε Παναμώμητε, Κυρία μου καὶ Δέσποινα, τὸν σὸν Υἱὸν ἐκδυσώπει, σὺν τῷ σεπτῷ Ἰωάννῃ, πειρατηρίων ῥύσασθαι, παντοίων τοὺς ὑμνοῦντάς σε, καὶ αἰωνίων τεύξασθαι, τῶν ἀγαθῶν Παναγία, δύνασαι γὰρ ὅσα θέλεις.

## Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχ. δ'. καὶ ψάλλομεν τὰ παρόντα προσόμοια.

Τοῦ Ἁγίου. ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τὸν ἀσκητὴν τοῦ Κυρίου, ὕμνοις τιμήσωμεν, τὸν

www.tezaurliturgic.ro


θαυμαστὸν προστάτην, Ἰωάννην τὸν θεῖον, τῆς Κρήτης, καὶ γὰρ οὗτος Χριστὸν τὸν Θεὸν, τὸν Σωτῆρα καὶ Κύριον, ὑπὲρ αὐτῆς ἱκετεύει ἐκ πειρασμοῦ, λυτρωθῆναι καὶ κολάσεως.

Ὑπὲρ ὑμῶν τῶν ἐν πίστει, σοῦ τὴν πανένδοξον, καὶ θεοφόρον μνήμην, ἐκτελούντων μὴ παύσῃ, παμμάκαρ Ἰωάννη τὸν Λυτρωτὴν, ἱκετεύων καὶ Κύριον, τοῦ λυτρωθῆναι κινδύνων καὶ πειρασμῶν, καὶ πυρὸς τοῦ αἰωνίζοντος.

Τῶν Ὁσίων. Ὁ αὐτός.

Τῶν οὐρανίων ταγμάτων, νῦν μιμησώμεθα, τάξεις τὰς οὐρανίους, καὶ στησώμεθα μίαν, χορείαν μετὰ πόθου, δεῦτε πιστοὶ, καὶ πιστῶς εὐφημήσωμεν, χορὸν τῶν θείων Πατέρων τὸν ἐκλεκτόν, τὸν τὴν Κρήτην ἐκλαμπρύναντα.

Ἡ ἑκατόμπολις Κρήτη, τέρπεται σήμερον, τοὺς ἑκατὸν πλουτοῦσα, στερεοὺς θείους πύργους, πατέρας τοὺς Ἁγίους τοὺς ἐν αὐτῇ, θαυμαστῶς ἐναθλήσαντας, καὶ ἐκλαμπρύναντας ταύτην ταῖς ἀρεταῖς, καὶ τοῖς θείοις κατορθώμασι.

Δόξα. ἦχος πλ. δ'.

Τῶν Ἁγίων Πατέρων ὁ χορός. θείᾳ ἐμπνεύσει εἰς Κρήτην συνελθὼν, ἐν μιᾷ πίστει καὶ μιᾷ καρδίᾳ, διὰ σαρκὸς τὸν ἄσαρκον ἐχθρὸν ἐτροπώσαντο· καὶ τοὺς τῆς νίκης στεφάνους, ἐν μιᾷ ῥοπῇ παρὰ τοῦ στεφοδότου Χριστοῦ ἐκομίσαντο· οὓς εὐφημοῦντες ἐν πίστει, μακαρίσωμεν λέγοντες· ὦ θεία παρεμβολή! θεηγόροι ὁπλῖται, παρατάξεως Κυρίου· ἀστέρες πολύφωτοι τοῦ νοητοῦ στερεώματος· τὰ μυρίπνοα ἄνθη τοῦ Παραδείσου, τὸ καύχημα καὶ σέμνωμα τῆς Κρήτης, Κυδωνίας ἀγλάϊσμα, ἐκτενῶς πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Δέσποινα πρόσδεξαι.

Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.

## Εἰς τὴν Λειτουργίαν.

Ὁ Ἀπόστολος. Προκείμενον. ἦχος βαρύς.

Καυχήσονται Ὅσιοι ἐν δόξῃ.

Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.

*Πρὸς Γαλάτας ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.*

» Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη,..

Ζήτει ἔμπροσθεν.

*Εὐαγγέλιον Ἐκ τοῦ κατὰ Λουκᾶν.*

» Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ ...

Ζήτει ἔμπροσθεν.

Κοινων. Εἰς μνημόσυνον αἰώνιον ἔσονται δίκαιοι.

## Μακαριστήρια

*Στάσις ά. ἦχος πλ. ά.* Ἡ ζωὴ ἐν Τάφῳ.

Ἀνυμνολογοῦμεν, Ἰωάννη σοφέ, καὶ τιμῶμεν τὴν σεβάσμιον μνήμην σου, προσκυνοῦντες τὴν εἰκόνα σου πιστῶς.

Βοηθοὺς καὶ πρέσβεις, πρὸς Θεὸν διαρκεῖς, ἔχοντες Πατέρων θεῖον χορὸν, τούτους ἀνυμνήσωμεν εὐσεβῶς.

Γεγηθότες δεῦτε, ἀνυμνήσωμεν νῦν, Ἰωάννην τὸν πανένδοξον ἀσκητὴν, καὶ τῆς Κρήτης, ἀντιλήπτορα θερμόν.

Δεῦτε πᾶσα τάξις, ἅπαν γένος Κρητῶν, προσκυνήσωμεν τὰ ἅγια λείψανα, Ἰωάννου καὶ Πατέρων τῶν σοφῶν.

Ἐξοδίοις ὕμνοις, ὀρθοδόξων πληθὺς, δεῦρο τῶν Πατέρων μελῴδησον, τῇ κοιμήσει καὶ τοῦ θείου ἀσκητοῦ.

Ζυγὸν τοῦ Κυρίου, ἄραντες οἱ σοφοί, ἐπ' ὤμων, εἰς τὴν Κρήτην συνέδραμον, καὶ ἐπλήρωσαν Χριστοῦ τὰς ἐντολάς.

www.tezaurliturgic.ro

Ἤκουσαν προθύμως, τῆς φωνῆς τοῦ Χριστοῦ, καὶ τοῦ κόσμου τὰ τερπνὰ καταλείψαντες, οἱ Πατέρες, εὐηρέστησαν αὐτῷ.

Θείων ἰαμάτων, βλύζουσι ποταμοί, ἐκ τῆς θήκης τῶν λειψάνων σου Ἅγιε, ἐξ οὗ πίνουσιν οἱ τρέχοντες πιστῶς.

Ἱερέων δῆμοι, μοναστῶν ὁ χορός, ἄρχοντες Κρητῶν, καὶ πᾶς ὁ λαὸς, ἀνυμνήσατε Πατέρας τοὺς σεπτούς.

Κρήτη χαρμοσύνως, τὴν σεπτὴν ἑορτήν, τῶν Πατέρων πανηγύριζε σήμερον, καὶ τοῦ θείου Ἰωάννου τοῦ σοφοῦ.

Λύσιν τῶν σφαλμάτων, πᾶσι δὸς Ἰησοῦ, τοῖς τιμῶσι, τῶν Πατέρων τὴν κοίμησιν, καὶ τοῦ θείου Ἰωάννου τοῦ σοφοῦ.

Μακαρίζομέν σε, Ἰωάννη σοφέ, καὶ τιμῶμεν τὴν σορὸν τῶν λειψάνων σου, προσκυνοῦντες σὴν εἰκόνα εὐσεβῶς.

Νικηταὶ ὡς ὄντες, νίκην δότε ἡμῖν, κατ' ἐχθρῶν τῶν πολεμούντων καὶ μένετε, καθ' ἡμέραν μεθ' ἡμῶν τῶν ταπεινῶν.

Ξένον θαῦμα βλέπω, μιᾷ ὥρᾳ ὁμοῦ, πάντες οἱ πατέρες παρέδωκαν, τὰς ψυχὰς σὺν Ἰωάννῃ τῷ κλεινῷ.

Ὁ τῆς Κρήτης ἅπας, ὀρθοδόξων λαός, δεῦτε καὶ κυκλώσωμεν σήμερον, ὥσπερ τέκνα τῶν Πατέρων τὸν χορόν.

Πύργοι θεῖοι ὄντες, ἀκλινεῖς καὶ στερροί, τῶν σκανδάλων τοῦ ἐχθροῦ ἡμᾶς ῥύσασθε, ὁδηγοῦντες πρὸς ὁδοὺς τῆς ἀρετῆς.

Ῥομφαῖαι καὶ βέλη, κατ' ἀσάρκων ἐχθρῶν, τῶν ἡμᾶς καταθλιβόντων τυγχάνουσι, τῶν Πατέρων ὁ πανάγιος χορός.



Σήμερον κομπάζει, Κυδωνία λαμπρά, ἔχουσα ἐν κόλποις τὸν Θησαυρόν, τοὺς Πατέρας τοὺς ἀσκήσαντας ἐν αὐτῇ.

Τιμαλφεῖς ὡς ῥόδα, εὐωδίας μεστά, νῦν αἱ κάραι τῶν Πατέρων τυγχάνουσι, καὶ μυρίζουσι ψυχὰς τὰς τῶν πιστῶν.

Ὑπὲρ τῆς ἀλήκτου, καὶ ἀφθάρτου τρυφῆς, ἠγωνίσασθε ἐκ πόθου μακάριοι, διὸ ἤρασθε στεφάνους ἐκ Θεοῦ.

Φωταυγεῖς ἀστέρες, νοητοῦ οὐρανοῦ, καὶ ἡμᾶς καταφωτίσατε Ὅσιοι, καὶ ποιήσατε ὑμῖν συγκοινωνούς.

Χαίρετε τῆς Κρήτης, σπήλαια καὶ βουνοί, χαίρετε τὰ ὄρη καὶ φάραγγες, ἐν οἷς ἤσκησαν Πατέρες οἱ σεπτοί.

Δόξα.

Ψάλατε προθύμως, ψάλατε τῷ Θεῷ, ἱερεῖς καὶ μοναχοὶ καὶ πᾶς ὁ λαός, τὴν Τριάδα προσκυνοῦντες εὐσεβῶς.

*Καὶ νῦν. Θεοτοκίον.*

Ὦ παρθενομῆτορ, σὺν τῷ θείῳ χορῷ, τῶν Πατέρων Ἰωάννῃ τε τῷ σεπτῷ, πρεσβείαν ποιεῖτε ὑπὲρ ἡμῶν.

*Στάσις β'. ἦχος ὁ αὐτός. Ἄξιόν ἐστιν.*

Ἄξιόν ἐστι, τοῦ δοξάζειν σε Τριὰς Ἁγία, Πάτερ Λόγε, Πνεῦμα τε Ἅγιον, ἡ δοξάσασα πατέρων τὸν χορόν.

Ἄξιόν ἐστιν, μακαρίζειν καὶ πιστῶς δοξάζειν, τοὺς θείους πατέρας, ἐκλάμψαντες, ἐν τῇ Κρήτῃ ὡς ἀστέρας φαεινούς.

Βίβλον τῶν Γραφῶν, μελετήσαντες οἱ θεοφόροι, ἔφυγον τοῦ βίου τὴν θάλασσαν, καὶ προσέδραμον Χριστῷ τῷ Λυτρωτῇ.

www.tezaurliturgic.ro

Γένος καὶ τερπνὰ, ἀπηρνήσασθε θεῖοι πατέρες, καὶ τῷ οὐρανῷ ἀτενίζοντες, ἀπελάβετε τὰ ἄνω ἀγαθά.

Δεῦτε οἱ ἐν γῇ, καὶ θαλάσσῃ τοὺς σοφοὺς πατέρας, τοὺς ἐν Κρήτῃ πόθῳ τιμήσωμεν, καὶ τὸν μέγαν Ἰωάννην σὺν αὐτοῖς.

Ἔχοντες φρουρὸν, Ἰωάννην σὺν σεπτοῖς Πατράσι, δεῦτε μετὰ πόθου πάντες πιστοὶ, προσκυνήσωμεν τὰ λείψανα αὐτῶν.

Ζῇς ἐν οὐρανῷ, εἰ καὶ τέθνηκας, ὦ ἐρημῖτα, ἄϋλος γὰρ ἔζης ἐπὶ τῆς γῆς· διὸ σὺν ἀΰλοις χοροβατεῖς.

Θάμβος ἦν ἰδεῖν, Ἰωάννην ἐρημοπολίτην, θάλασσαν περῶντα ὡσεὶ ξηρὰν, πίστει ἀδιστάκτῳ πρὸς τὸν Θεόν.

Ἰωάννη δὲ, ἀδελφὲ, ἐβόων ἐκ τῆς Κρήτης, οἱ θεῖοι πατέρες, μὴ δίσταζε, ἀλλὰ σύγγνωθι, καὶ δεῦρο πρὸς ἡμᾶς.

Κρήτη θαυμαστὴ, εὖγε τῆς καλῆς σου συνοδίας, καὶ εὐλογημένης καὶ θαυμαστῆς, ὅτι σὲ ἡγίασε θαυμαστῶς.

Λύουσι παθῶν, σαρκικῶν, τοὺς ἐπικαλουμένους, θῆκαι τῶν λειψάνων καὶ βρύουσι, νάματα ἰάσεων ψυχικῶν.

Μνήσθητε ἡμῶν, τῶν ἐν Κρήτῃ εὐσεβῶς ὑμνούντων, καὶ ἑορταζόντων ἐκ πίστεως, τὴν σεβάσμιον πανήγυριν ὑμῶν.

Νῦν περιχαρῶς, τὴν πανέορτον μνήμην τῶν θείων, πατέρων, ὦ Κρήτη ἑόρταζε, χόρευε καὶ σκίρτα πνευματικῶς.

Ξένον καὶ φρικτὸν, τὸ μυστήριον τοῦτο ὑπάρχει, ἐν μιᾷ ῥοπῇ γὰρ ἀπέθανον, πάντες οἱ πατέρες μιᾷ ψυχῇ.



Ὄρεσι πολλοῖς, διατρίβοντες, ὦ Ἰωάννη, οἱ συνασκηταί σου μιᾷ ῥοπῇ, σὺν σοὶ ἐκοιμήθησαν οἱ σεπτοί.

Πάθη χαλεπὰ, ἀπελαύνετε θεῖοι πατέρες, θεία μυροθήκη ὑπάρχοντες, καὶ θαυμάτων ἀνεξάντλητος πηγή.

Ῥῶσιν, τῆς ψυχῆς, καὶ τοῦ σώματος θεῖοι πατέρες πορίζετε, πᾶσι τοῖς εὐλαβῶς, τὴν ὑμῶν τελούντων νῦν ἑορτήν.

Στρέψατε ἡμῶν, θεοφόροι εἰς χαρὰν τὸ πένθος, καὶ τῶν πειρασμῶν ἐκλυτρώσασθε, παῤῥησίαν ἔχοντες πρὸς Θεόν.

Τὸν θεῖον χορὸν, τῶν Ἁγίων καὶ σεπτῶν πατέρων, δεῦτε οἱ πιστοὶ εὐφημήσωμεν, ὡς μεγάλους ἀντιλήπτορας ἡμῶν.

Ὕψωσον πιστῶν, κέρας Ἄναξ, τῶν ἀνάκτων Λόγε, ταῖς τῶν θεοφόρων δεήσεσι, καὶ κατάβαλε βαρβάρων τὴν ὀφρύν.

Φύλαξον Χριστὲ, ταῖς πρεσβείαις τῶν σεπτῶν Πατέρων, ἐξ ἐχθρῶν παντοίας ἐπιβουλῆς, ἡμᾶς τοὺς τιμῶντας αὐτοὺς πιστῶς.

Χόρευε λαμπρῶς, Κυδωνία ὀφθαλμούς σου δ' ἆρον, καὶ ἴδε ἐν κύκλῳ τὰ τέκνα σου, προσκυνοῦντα τοὺς πατέρας εὐλαβῶς.

Δόξα.

Ψάλατε πιστοὶ, τῷ Θεῷ ἡμῶν τῷ ἐν Τριάδι, ψάλατε προθύμως δοξάζοντες, τὸν δοξάσαντα πατέρας τοὺς σοφούς.

*Καὶ νῦν. Θεοτοκίον.*

Ὦ Μῆτερ Ἁγνὴ, παναμώμητε εὐλογημένη, ἐκ παντοίας βλάβης καὶ ἀπειλῆς, φύλαττε ἡμᾶς τῆς τῶν ἀσεβῶν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro

*Στάσις γ'. Ἦχος γ'.* Αἱ γενεαὶ πᾶσαι.

Αἱ γενεαὶ πᾶσαι, τῆς Κρήτης συναχθέντες, ὑμνεῖτε τοὺς πατέρας.

Βρύει ἰαμάτων, ἔνδον ἐν τῷ σπηλαίῳ, σορὸς αὐτῶν ἡ θεία.

Γεραίρομεν οἱ πάντες, τὰς ἁγίας κάρας, ὑμῶν θεῖοι πατέρες.

Διὰ τὴν ἀγήρω, ζωὴν καὶ μακαρίαν, ἠρνήσασθε τὸν κόσμον.

Ἔχοντες παρρησίαν, πρὸς τὸν Θεόν, καὶ θάρρος, μέμνησθε τῶν σῶν δούλων.

Ζάλης τῶν βαρβάρων, λυτρώσατε τὴν Κρήτην, εὐχαῖς ἡμῶν ἁγίαις.

Ἡ Κρήτη νῦν μυρίζει, τὰ μύρα τῶν λειψάνων, ὑμῶν θεῖοι πατέρες.

Θείων ἰαμάτων, κρουνοὺς αἱ θεῖαι κάραι, βλύζουσι τῶν πατέρων.

Ἰωάννη πάτερ, σὺν τοῖς συνασκηταῖς σου, πρεσβεύειν μὴ ἐλλείπῃς.

Κυδωνία χαίροις, ἐπὶ τῇ κοιμήσει, τοῦ ἐρημοπολίτου.

Λαὸν ὀρθῶς φρονοῦντα, τῶν Κρητῶν ἐξόχως, φύλαττε Ἰωάννη.

Μακάριον τυγχάνει, τὸ σπήλαιόν σου Πάτερ, ἐν ᾧ ἐπανεπαύσω.

Νύκτα καὶ ἡμέραν, ἡμᾶς πατέρες θεῖοι, ἔχομεν παραστάτας.

Ξένον θαῦμα βλέπω, ὑγρὰν τὸν Ἰωάννην, ὥσπερ ξηρὰν περῶντα.

Ὄλβον μέγαν εὗρες, τῶν σεπτῶν πατέρων, τὰ λείψανα ὦ Κρήτη.

Προσκυνοῦμεν πάντες, τὰς θείας ὑμῶν κάρας, πατέρες θεοφόροι.



Ῥόδα τε καὶ κρῖνα, τῆς ἐρήμου ὄντα, μυρίζετε τὴν Κρήτην.

Σπήλαια τὰ θεῖα, ἅπερ ὑμεῖς ᾠκεῖτε, πιστῶς νῦν προσκυνοῦμεν.

Τὰ ὄρη νῦν τῆς Κρήτης, μυρίζουσιν ὡς κρῖνα, ἐκ τῶν ὑμῶν λειψάνων.

Ὑμνοῦμεν τοὺς ἀγῶνας, τοὺς σοὺς ὦ ἐρημῖτα, καὶ τὸ Ἅγιον τέλος.

Φρουροὺς μεγάλους ἔχεις, πατέρας τοὺς ἁγίους, ἑκατόμπολις Κρήτη.

Χαίροις Ἰωάννη, ἡ Κορωνὶς τῆς Κρήτης, καὶ Μοναχῶν τὸ κλέος.

Χαίρετε Πατέρες, οἱ φύλακες τῆς Κρήτης, καὶ τῶν πιστῶν προστάται.

Δόξα.

Ψαλμοῖς σε ἀνυμνοῦμεν, ὦ Τριὰς Ἁγία, νῦν καὶ εἰς τοὺς αἰῶνας.

*Καὶ νῦν.* Θεοτοκίον.

Ἀμόλυντε Παρθένε, σὺν τοῖς σεπτοῖς Πατράσι, τὸν σὸν Υἱὸν δυσώπει.

## Ἕτερα Μεγαλυνάρια.

*Πρὸς,* Τὴν τιμιωτέραν.

Τῶν θείων Πατέρων θεῖον βλαστόν, ἀσκητῶν τὸ κλέος, καὶ τῆς Κρήτης τὴν καλλονήν, τὸν θερμὸν προστάτην, τῶν ἐπικαλουμένων, τὸν μέγαν Ἰωάννην πάντες ὑμνήσωμεν.

Τοὺς ἐν Κρήτῃ λάμψαντας θαυμαστῶς, Ἁγίους Πατέρας, εὐφημήσωμεν οἱ πιστοί· τούτους γὰρ προστάτας ἐνθέρμους πρὸς τὸν Κτίστην, ἔχομεν οἱ τιμῶντες αὐτοὺς ἐκ πίστεως.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro

## Εὐλογητάρια.

*Ἦχος πλ. ά.*

Εὐλογητὸς εἶ, Κύριε, ὁ δοξάσας Πατέρας τοὺς ἁγίους.

Τῶν Ἀγγέλων οἱ δῆμοι, κατεπλάγησαν ὄντως, τὴν ὑμῶν πολιτείαν, θεοφόροι ὁρῶντες· τὸν γὰρ ἄσαρκον ἐχθρόν, ἐν σαρκὶ καθελόντες, τούτου τὴν ἰσχύν, πᾶσαν κατῃσχύνατε, καὶ στεφάνοις νίκης κατεκοσμήθητε.

Εὐλογητὸς εἶ, Κύριε, ὁ δοξάσας Πατέρας τοὺς ἁγίους.

Τί τὰ μῦρα εὐσεβῶς τοῖς δάκρυσιν, ὦ φιλέορτοι κιρνᾶτε; πρὸς τὸν τάφον τῶν Πατέρων δράμετε, καὶ κυκλώσατε αὐτὸν μετ' εὐλαβείας· πόθῳ δὲ τὰ ἅγια λείψανα, προσκυνήσατε· ἰάσεις γὰρ βρύουσι.

Εὐλογητὸς εἶ Ἅγιε, σκέπε φρούρει, τοὺς σε ὑμνολογοῦντας.

Λίαν δεινῶς, πηρωθεὶς τὰ ὄμματα, τῆς ψυχῆς ὁ φονευτής σου Μάκαρ, καὶ τὸ βέλος ἀφεὶς ὡς ἀμνόν σε φονεύει· γνοὺς δὲ τὸ ἁμάρτημα ἔπεσε, πρὸ ποδῶν σου, ἀνυμνοῦντος τὸν Θεόν.

Εὐλογητὸς εἶ, Ἅγιε, σκέπε φρούρει τούς σε δοξολογοῦντας.

Μύρα βρύων ὁ τάφος, ὁ σὸς θεῖε Ἰωάννη, ἀναδέδεικται βρύσις ἰαμάτων· ἐξ ἧς σαφῶς, ἀρυόμεθα πάντες, ἴασιν ψυχῆς ἅμα τε καὶ σώματος, οἱ ἐκ πόθου ἀνυμνοῦντές σε Ἅγιε.

Δόξα.

Προσκυνοῦμεν Πατέρα, καὶ τὸν τούτου Υἱόν τε, καὶ τὸ ἅγιον Πνεῦμα, τὴν ἁγίαν Τριάδα, ἐν μιᾷ τῇ οὐσίᾳ σὺν τοῖς Σεραφείμ, κράζοντες τό, Ἅγιος, Ἅγιος, Ἅγιος εἶ Κύριε.

*Καὶ νῦν.* Θεοτοκίον.

Ζωηφόρον πηγήν σε, ἐγνωκότες Παρθένε, τῆς Ζωῆς σε Μητέρα ἐκβοῶμεν ἐκ πόθου· ζώωσον ἡμᾶς νεκρωθέντας πταίσμασι, καὶ χαρᾶς ἀξίωσον αἰωνίου, Ἁγνὴ Θεοχαρίτωτε.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι ὁ Θεός. ἐκ γ'.

Αἴτησις καὶ ἀπόλυσις.

ΑΛΕΞΑΝΔΡΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΤΗΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro

# ΟΙ ΑΓΙΟΙ ΔΕΚΑ ΜΑΡΤΥΡΕΣ ΟΙ ΕΝ ΚΡΗΤῌ



Ἐσχεδ. ὑπὸ Α. Β.

(α′.) Σατορνῖνος (β′.) Εὐνικιανὸς (γ′.) Γελλάσιος (δ′.) Εὔπορος (έ.) Βασιλείδης (ς′.) Πομπίος (ζ′.) Εὐάρεστος (ή.) Ἀγαθόπους (θ′.) Ζωτικὸς (ί.) Θεόδουλος

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΩΝ ΑΓΙΩΝ ΕΝΔΟΞΩΝ ΚΑΙ ΠΑΝΕΥΦΗΜΩΝ ΔΕΚΑ ΜΑΡΤΥΡΩΝ ΤΩΝ ΕΝ ΚΡΗΤῌ ΑΝΑΙΡΕΘΕΝΤΩΝ

*ψαλλομένη τῇ 23 Δεκεμβρίου*

---

Ἑσπέρας, ἐν τῷ μεγάλῳ ἑσπερινῷ, στιχολογοῦμεν τὸ «Μακάριος ἀνήρ». Εἰς δὲ τὸ «Κύριε ἐκέκραξα», ἱστῶμεν στίχ. ή. καὶ ψάλλομεν Προεόρτια δ′. ἐκ τοῦ Μηναίου, καὶ τῶν Ἁγίων δ′. τὰ παρόντα.

Ἦχος δ′. Ὡς γενναῖον ἐν μάρτυσι.

Ἡ δεκὰς ἡ θεόλεκτος, καὶ λαμπὰς ἡ δεκάπυρσος, ἡ ταῖς θείαις λάμψεσι καταυγάζουσα, τῆς Ἐκκλησίας τὸ πλήρωμα, οἱ στύλοι οἱ ἄσειστοι, οἱ ἀστέρες οἱ φαιδροί, οἱ τὴν γῆν οὐρανώσαντες, ταῖς λαμπρότησι, τῶν μεγίστων ἀγώνων ἐγκωμίοις, ἱεροῖς μεγαλοφώνως, ἀνευφημείσθωσαν σήμερον.

Εὐφημείσθω Θεόδουλος, Ζωτικός τε καὶ Πόμπιος, Βασιλείδης, Εὔπορος, Ἀγαθόπους τε, καὶ Σατορνῖνος Γελάσιος, καὶ θεῖος Εὐάρεστος· μεθ᾽ ὧν Εὐνικιανός, νῦν τιμάσθωσαν ᾄσμασιν, οἱ πανεύδιοι, τῶν ἐν ζάλῃ λιμένες οἱ τὴν πλάνην, στηλιτεύσαντες καὶ στέφος, νικητικὸν κομισάμενοι.

Τὰ τῆς Κρήτης βλαστήματα, Ἐκκλησίας ἐρείσματα, καὶ πιστῶν ἀμάραντα ὡραΐσματα, τοῦ παραδείσου

www.tezaurliturgic.ro



ἡδύπνοα, τὰ ἄνθη τὰ τίμια, τὰ εὐπρόσδεκτα Χριστοῦ, καὶ τερπνότατα σφάγια, ἀναθήματα, οὐρανίου ναοῦ τε τὴν δεκάδα, τῆς Τριάδος τὴν ἁγίαν, τοὺς ἀθλοφόρους ὑμνήσωμεν.

Τὸ δεκάριθμον σύνταγμα, τῶν μαρτύρων ὑμνήσωμεν· τὸν σοφὸν Θεόδουλον, Ἀγαθόπουντε, καὶ Σατορνῖνον Γελάσιον, καὶ θεῖον Εὐάρεστον, μεθ' ὧν Εὐνικιανόν, Βασιλείδην καὶ Πόμπιον, καὶ τὸν Εὔπορον, Ζωτικόν τε τὸν μέγαν τοὺς τῆς Κρήτης, ἀντιλήπτορας καὶ πρέσβεις, ὑπὲρ αὐτῆς ἱκετεύοντας.

Δόξα. Ἦχος β'.

Κρήτη προεορτάζει σήμερον Χριστοῦ τὰ γενέθλια, ἐν τῇ μνήμῃ τῶν ἀθλοφόρων· ἐν αὐτῇ γὰρ ἐβλάστησαν, ἐν αὐτῇ καὶ νομίμως ἐνήθλησαν· Θεόδουλος καὶ Ζωτικὸς, Πόμπιος καὶ Βασιλείδης, Εὔπορος καὶ Ἀγαθόπους, Σατορνῖνός τε καὶ Γελάσιος, Εὐάρεστος καὶ Εὐνικιανός· διὸ εὐχαῖς αὐτῶν Κύριε, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Προεόρτιον. ὁ αὐτός.

Βηθλεὲμ γῆ Ἰούδα τὸ κατὰ σάρκα πολίτευμα, φαιδρῶς εὐτρέπισον τὸ θεῖον σπήλαιον· ἐν ᾧ Χριστὸς σαρκὶ τίκτεται, ἐξ ἀπειράνδρου Ἁγίας παρθένου, εἰς τὸ σῶσαι τὸ γένος ἡμῶν.

Εἴσοδος· Φῶς ἱλαρόν· Προκείμενον τῆς ἡμέρας. Καὶ τὰ Ἀναγνώσματα τῶν Ἁγίων Πάντων. Ζήτει ἔμπροσθεν.

## Εἰς τὴν Λιτήν.

Ἦχος α'.

Τοὺς γενναίους ἀθλητὰς καὶ θείους μάρτυρας, τοὺς ὑπὲρ τῆς εὐσεβείας καλῶς ἀγωνισθέντας, δέκα τὸν ἀριθμὸν ὑμνήσωμεν λέγοντες· Χαίρετε στερροὶ τῆς πίστεως πρόμαχοι, κατὰ τοὺς προφήτας καὶ Ἀποστόλους. Χαίρετε Κρήτης βλαστήματα, καὶ τῆς οἰκουμένης στηρίγματα· πρεσβεύσατε πολύαθλοι, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.



Μετὰ τῶν ἄνω ταγμάτων συνηριθμήθητε ἔνδοξοι, καλῶς ἀθλήσαντες καὶ τὸν Χριστὸν ποθήσαντες, Ἅγιοι δέκα μάρτυρες· τὰ οὐράνια ἐκτήσασθε, αἰτοῦντες ἡμῖν τὸ μέγα ἔλεος.

Τοὺς ἀθλοφόρους τοῦ Χριστοῦ, τὰ τῆς Κρήτης βλαστήματα, ὕμνοις καὶ ᾠδαῖς τιμήσωμεν· τοὺς φωστῆρας τῆς Κρήτης καὶ κήρυκας τῆς πίστεως, τὴν πηγὴν τὴν ἀέναον, ἐξ ἧς ἀναβλύζει τοῖς πιστοῖς τὰ ἰάματα, τοὺς πολυάθλους δέκα μάρτυρας· Αὐτῶν ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς τοὺς ἐν Κρήτῃ οἰκοῦντας καὶ πάντας τοὺς πιστοὺς, διαφύλαξον, καὶ παράσχου ἡμῖν τὸ μέγα ἔλεος.

Οὗτοι οἱ στρατιῶται τοῦ βασιλέως τοῦ μεγάλου, ἀντέστησαν τοῖς δόγμασι τῶν τυράννων, γενναίως κατεφρόνησαν τῶν βασάνων· καὶ τὴν πλάνην πᾶσαν πατήσαντες, ἀξίως στεφανωθέντες, αἰτοῦνται παρὰ τοῦ Σωτῆρος, εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Ἦχος β'.

Ἡ νῆσος τῆς Κρήτης τιμᾷ ὑμῶν τὴν μνήμην, Ἅγιοι δέκα μάρτυρες· ἐν ταύτῃ γὰρ ἐβλαστήσατε, ἐν αὐτῇ καὶ τὸ τέλος τοῦ μαρτυρίου ἐδέξασθε· καὶ διὰ τοῦτο Κρητῶν ἐστε τὸ καύχημα, ὀρθοδόξων τὸ κλέος, Ἐκκλησιῶν ἡ εὐπρέπεια.

Τὸν σταυρὸν τοῦ Χριστοῦ κατέχοντες, Ἅγιοι δέκα μάρτυρες, ὅπλον ἀκαταμάχητον, πᾶσαν τὴν τῶν τυράννων ὀφρὺν κατεβάλετε, καὶ λαβόντες στέφη ἀμάραντα, κλέος πιστῶν γεγόνατε, ὑπὲρ ἡμῶν ἀεὶ δεόμενοι.

Ὠχυρωμένοι τὴν ψυχὴν Πνεύματι θείῳ, μάρτυρες ἔνδοξοι, τὰ τῶν ἀθέων φόβητρα εἰς οὐδὲν λογισά-

www.tezaurliturgic.ro

μενοι, οὐδὲν θαυμάσαντες τῶν φθειρομένων, ἐν μὲν βασάνοις μεγαλόφρονες καὶ γενναιότατοι, ἐν δὲ ἀθλήσει καὶ καρτερίᾳ ὑψηλοὶ καὶ ἄκαμπτοι, καὶ τῶν βασάνων τὰ ποικίλα εἴδη ἀνδρικῶς καταπτύσαντες, εἰς οὐρανοὺς στεφανηφόροι παρίστασθε· διὸ καὶ Κρήτη προεορτάζει σήμερον τὰ γενέθλια Χριστοῦ ἐν τῇ μνήμῃ ὑμῶν ἀθλοφόροι· ταῖς πρὸς Θεὸν εὐχαῖς ὑμῶν, αἰτήσασθε ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα. ἦχος πλ. ά.

Πιστῶς πανηγυρίζομεν τὴν πάνσεπτον ἡμέραν τῆς ἐνδόξου ὑμῶν ἀθλήσεως, ὦ ἀθλοφόροι Χριστοῦ καὶ μάρτυρες πανεύφημοι· ὡς διὰ Χριστὸν γενναίως ἀθλήσαντες, καὶ τὴν ἀθέων πλάνην στηλιτεύσαντες· Θεόδουλε καὶ Ζωτικέ, Εὐνικιανὲ καὶ Εὐάρεστε, Ἀγαθόπου καὶ Σατορνῖνε, Γελάσιε καὶ Εὔπορε, Βασιλείδη καὶ Πόμπιε. Ὅθεν τῷ Δεσποτικῷ θρόνῳ μετὰ παρρησίας μαρτυρικῆς ἀεὶ παριστάμενοι, ἐκτενῶς πρεσβεύσατε, ὑπὲρ τῶν ἐκτελούντων τὴν ἱερὰν ὑμῶν πανήγυριν.

Καὶ νῦν. Προεόρτιον, ὅ αὐτός.

Μὴ στύγναζε Ἰωσήφ, καθορῶν μου τὴν νηδύν· ὄψει γὰρ τὸ τικτόμενον ἐξ ἐμοῦ καὶ χαρήσῃ, καὶ ὡς Θεὸν προσκυνήσεις, ἡ Θεοτόκος ἔλεγε τῷ ἑαυτῆς μνηστῆρι, μολοῦσα τοῦ τεκεῖν τὸν Χριστόν· ταύτην ἀνυμνήσωμεν λέγοντες· Χαῖρε κεχαριτωμένη, μετὰ σοῦ ὁ Κύριος, καὶ διὰ σοῦ μεθ' ἡμῶν.

Εἰς τὰ Ἀπόστιχα. ἦχος πλ. ά. Χαίροις ἀσκητικῶν.

Δεῦτε μαρτυρικὴν ἀδελφοί, μετ' ἐγκωμίων ἀνυμνήσωμεν φάλαγγα, ταῖς στρέβλαις δοκιμασθεῖσαν, καὶ τοὺς τῆς πλάνης δεινούς, διαπύρῳ ζήλῳ καταισχύνασαν, δεκάριθμον σύνταγμα, ἱερώτατον ἄθροισμα, συνασπισμόν τε, ἄρραγῆ καὶ ἀνίκητον, τοὺς τῆς Κρήτης τε, περιβόλους καὶ φύλακας, δέκα ἁγίους μάρτυρας, στερρῶς ἐναθλήσαντας, τῆς Ἐκκλησίας τοὺς πρέσβεις, τοὺς δυνατῶς ἱκετεύοντας, Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν εἰρήνην, καὶ μέγα ἔλεος.



Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Χαίροις ἡ τῶν μαρτύρων δεκάς, ἡ ταῖς αἰκίαις καρτερῶς ὑπομείνασα, τῆς Κρήτης οἱ πολιοῦχοι, οἱ στρατιῶται Χριστοῦ, οἱ στερροὶ ὁπλῖται καὶ ἀπτόητοι· τὸν νοῦν εὐτονώτατοι, καὶ ψυχὴν ἀνδρειότατοι, τῷ ὄντι θεῖοι, καὶ Θεῷ ποθεινότατοι, χορὸς ἅγιος, θεοσύλλεκτον σύστημα, ἅγιοι δέκα μάρτυρες, οἱ ἴσοι τὴν ἄθλησιν, ἴσοι τὴν γνώμην καὶ ἴσους, καὶ τοὺς στεφάνους δεξάμενοι· Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.

Χαίροις τροπαιοφόρος δεκάς, ἡ ἐν βασάνοις ἀνδρικῶς καρτερήσασα, ἀστέρες οἱ διελθόντες, διὰ βασάνων πολλῶν, καὶ ἀθέων πλάνην, στηλιτεύσαντες, οἱ Κρήτην φαιδρύναντες, τοῖς σεπτοῖς ὑμῶν αἵμασι, νῦν δ' ἐν ἀγέλαις, τῶν μαρτύρων θαλπόμενοι, οἱ χορεύοντες, σὺν Ἀγγέλων στρατεύμασιν, ἅγιοι δέκα μάρτυρες, τὰ ἄνθη τὰ πνέοντα, τὴν εὐωδίαν τῆς ὄντως, πνευματικῆς διαθέσεως· Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα. ἦχος γ'.

Προεόρτιος σήμερον ἡ τῶν μαρτύρων ἐπέστη ἑορτή, τὴν γενέθλιον ἡμῖν προϋπογράφουσα ἡμέραν, τὸν ἐξ ἡλίου ἥλιον, τὸν ἐκ τῆς Παρθένου Θεὸν ἐπιφανέντα, σαρκὶ ἀνακηρύττουσα. Δεκὰς μαρτύρων ἐν Κρήτῃ στερρῶς ἀθλήσασα, τοὺς στεφάνους τῆς νίκης ἐξ οὐρανοῦ

www.tezaurliturgic.ro

ἐδέξαντο· πρὸς οὓς βοήσωμεν· Χορὸς ἁγιόλεκτος, ἱκετεύσατε Χριστὸν ἅγιοι μάρτυρες, ὑπὲρ τῶν πίστει τελούντων, τὴν πάνσεπτον μνήμην ὑμῶν.

*Καὶ νῦν.* Προεόρτιον, ὅμοιον.

Εὐτρεπίζου Βηθλεέμ, ἤνοικται γὰρ ἡ Ἐδέμ· ἑτοιμάζου Εὐφραθᾶ, ἀνανεοῦται γὰρ ὁ Ἀδὰμ καὶ ἡ Εὔα σὺν αὐτῷ· ἡ κατάρα γὰρ λέλυται, ἡ σωτηρία ἐν κόσμῳ ἐξήνθησε, καὶ ψυχαὶ τῶν δικαίων εὐτρεπίζονται· ὡς προῖκα δωροφορίας, ἀντὶ μύρου τὸν ὕμνον προσάγουσαι, σωτηρίαν ψυχῆς καὶ ἀφθαρσίαν κομιζόμεναι. Ἰδοὺ γὰρ ἐν φάτνῃ ἀνακείμενος, προτρέπει ὑμνῳδίαν πνευματικὴν ἐπιτελέσαι, τοὺς βοῶντας ἀπαύστως, Κύριε δόξα σοι.

Ἀπολυτίκιον. Ἦχος γ΄. Τὴν ὡραιότητα.

Τὴν πολυθαύμαστον, Κρήτην τιμήσωμεν, τὴν ἐξανθήσασαν, ἄνθη τὰ τίμια, τοὺς μαργαρίτας τοῦ Χριστοῦ, μαρτύρων τοὺς ἀκρέμονας· δέκα γὰρ ὑπάρχοντες, ἀριθμῷ οἱ μακάριοι, δύναμιν μυριόπλον, τῶν δαιμόνων κατῄσχυναν· διὸ καὶ τοὺς στεφάνους ἐδέξαντο, μάρτυρες Χριστοῦ οἱ καρτερόψυχοι.

*Δόξα.* Ὁ αὐτός.

Κρήτης τὰ τίμια, ἄνθη ὑμνήσωμεν, καὶ μακαρίσωμεν, πάντες ἐν ᾄσμασιν, ὡς μαργαρίτας τοῦ Χριστοῦ, καὶ μάρτυρας θεοφόρους· Πόμπιον, Εὐάρεστον, Σατορνῖνον, Θεόδουλον, Εὔπορον, Γελάσιον, Ζωτικὸν Βασιλείδην τε, καὶ Εὐνικιανὸν Ἀγαθόπουν, ὅπως εὐχαῖς τούτων φρουρούμεθα.

*Καὶ νῦν.* Τὸ προεόρτιον.



# Εἰς τὸν Ὄρθρον.

Μετὰ τὴν α΄. στιχ. Καθίσματα. Ἦχος δ΄. Ὁ ὑψωθείς.

Τοὺς ἀθλοφόρους τοῦ Χριστοῦ καὶ ὁπλίτας, τοὺς ἐναθλήσαντας στερρῶς ἀνυμνοῦμεν, τοὺς ἐν τῇ Κρήτῃ λάμψαντας ἀστέρας φαεινούς, δέκα ἰσαρίθμους τε, ἐντολῶν τοῦ Κυρίου· οὗτοι γὰρ πρεσβεύουσιν, ἐκτενῶς τῷ Κυρίῳ, ἵνα ῥυσθῶμεν θλίψεων καὶ κακῶν, τὴν τούτων μνήμην, οἱ πόθῳ γεραίροντες.

Δόξα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ἀρετῶν ταῖς ἰδέαις καταστραπτόμενοι, μαρτυρίου τῷ φέγγει ὡραϊζόμενοι, ὑπὲρ ἥλιον σοφοὶ ἠστράψατε πολύαθλοι, περιφρουροῦντες ἀληθῶς, τοὺς ἐκτελοῦντας τὴν ὑμῶν, πανήγυριν ἀθλοφόροι· δέκα Ἅγιοι μάρτυρες, καὶ προσκυνοῦντας ὑμῶν τὰ λείψανα.

*Καὶ νῦν.* Προεόρτιον, ὁ αὐτός.

Βηθλεὲμ ἑτοιμάζου τὰ πρὸς ὑπάντησιν, τῆς παρθένου Μαρίας καὶ θεομήτορος· ἰδοὺ γὰρ ἔρχεται πρὸς σὲ ἔμβρυον φέρουσα, τὸν συνάναρχον Πατρί, καὶ τῷ Πνεύματι ἀεί, Χριστὸν ὃν ἐν σπηλαίῳ γεννήσει· καὶ μετὰ τόκον παρθένος, πάλιν ὀφθήσεται.

Μετὰ τὴν β΄. στιχολ. Ἦχος δ΄. Ὁ ὑψωθείς.

Ἀγωνισθέντες καρτερῶς ἀθλοφόροι, καὶ μαρτυρίου κομισάμενοι γέρα, οἱ ἐν τῇ Κρήτῃ δέκα Ἅγιοι μάρτυρες, ῥύσασθε πολύαθλοι, συμφορῶν καὶ κινδύνων, νόσων τε καὶ θλίψεων, τοὺς πιστῶς εὐφημοῦντας, τοὺς ἱεροὺς ὑμῶν ἀγῶνας ἀθληταί, τὸν στεφοδότην, Θεὸν ἱκετεύοντες.

*Δόξα.* Ὅμοιον.

Οἱ τοῦ Κυρίου ἀθληταὶ οἱ ἐν Κρήτῃ, ἀγωνισάμενοι καλῶς τὸν Βελίαρ, ὁλοτελῶς ἀπέπνιξαν αἱμάτων ταῖς

www.tezaurliturgic.ro

βοαῖς· λίθοις γὰρ συνθλώμενοι, καὶ τεμνόμενοι ξίφει, καὶ πολλαῖς βασάνοις τε, καὶ αἰκίαις βληθέντες, στεφανηφόροι ὤφθητε σαφῶς· ὅθεν τιμῶμεν, ὑμῶν τὰ μνημόσυνα.

*Καὶ νῦν.* Προεόρτιον ὁ αὐτός. Ταχὺ προκατάλαβε.

Ἐνθέως εὐφραίνεται, ἡ κτίσις σήμερον, Χριστὸς γὰρ ὁ Κύριος, ὁ τοῦ Θεοῦ μου Υἱός, ἐκ Κόρης γεννᾶται ἁγνῆς, ἅπαν τὸ τῶν ἀνθρώπων, γένος ἀθανατίζων, λύων καὶ τὴν κατάραν τῆς προμήτορος Εὔας· διὸ ὡς εὐεργέτῃ ἡμῶν, ᾆσμα προσάξωμεν.

Μετὰ τὸν πολυέλεον. *ἦχος γ'.* Θείας πίστεως.

Ἄνθη τίμια, τῆς νήσου Κρήτης, καὶ προπύργια, τῆς Ἐκκλησίας, μαργαρῖται Χριστοῦ οἱ πολύτιμοι, τοὺς τὴν ὑμῶν ἐκτελοῦντας πανήγυριν, ἐκ πολυτρόπων δεινῶν περισκέπετε· Δέκα μάρτυρες, Χριστὸν ἐκτενῶς αἰτούμενοι, παρ' οὗ μαρτυρικοὺς στεφάνους ἤρασθε.

*Δόξα.* ὅμοιον.

Ἄνθη τίμια, τῆς Κρήτης ὄντως, πύργοι ἄσειστοι, τῆς εὐσεβείας, ἀνεδείχθητε μάρτυρες ἔνδοξοι· ἐν τῇ ἀθλήσει τὸν βίον φαιδρύναντες, ὑπὲρ Χριστοῦ τε τὸ αἷμα ἐκχέαντες· Δέκα μάρτυρες, Χριστὸν τὸν Θεὸν αἰτήσασθε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Καὶ νῦν.* Προεόρτιον. Ὁ αὐτός. Τὴν ὡραιότητα.

Θαῦμα παράδοξον, ὁρᾶται σήμερον· ὁ γὰρ Σωτὴρ ἡμῶν, ἐν τῷ σπηλαίῳ σαρκί, ἐκ τῆς Παρθένου δι' ἡμᾶς, τεχθῆναι νῦν ἐπείγεται· μάγοι μετὰ δώρων δέ, ὡς βασιλεῖ προσκυνήσουσι, ποιμένες τε καὶ Ἄγγελοι, αὐτὸν δοξολογήσουσι· μεθ' ὧν καὶ ἡμεῖς βοῶμεν, δόξα τῷ δι' ἡμᾶς ἐνανθρωπήσαντι.



Οἱ ἀναβαθμοί. Τὸ προκείμενον. ἦχος δ'.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

*Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν.*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· προσέχετε ἀπὸ τῶν ἀνθρώπων. Ζήτει ἔμπροσθεν.

Ὁ Ν'. *Δόξα.* Ταῖς τῶν ἀθλοφόρων.

*Καὶ νῦν.* Ταῖς τῆς Θεοτόκου.

*Στίχ.* Ἐλέησόν με ὁ Θεός. *ἦχος β'.*

Κομπάζει σήμερον ἡ νῆσος Κρήτη, ἐπὶ τῇ μνήμῃ ὑμῶν ἀθλοφόροι, πολιούχους ὑμᾶς εὐμοιρήσασα, καὶ πρὸς Θεὸν πρεσβευτάς· καὶ γηθομένη βοᾷ εὐχαρίστως· Χαίρετε Θεόδουλε καὶ Ζωτικέ, Βασιλείδη καὶ Εὔπορε, Σατορνῖνε καὶ Γελάσιε, Εὐνικιανὲ καὶ Ἀγαθόπου, Πόμπιε καὶ Εὐάρεστε· ὡς ἔχοντες παρρησίαν πρὸς Θεόν, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὁ Προεόρτιος κανὼν καὶ τῶν Ἁγίων. Ζήτει εἰς τὸ Μηναῖον.

Ἀφ' ἕκτης Ὠδῆς. Κοντάκιον. *ἦχος δ'.* Ἐπεφάνης σήμερον.

Ἑωσφόρος ἔλαμψεν, ἡ τῶν μαρτύρων, σεβασμία ἄθλησις, προκαταυγάζουσα ἡμῖν, τὸν ἐν σπηλαίῳ τικτόμενον· ὃν ἡ Παρθένος, ἀσπόρως ἐκύησε.

Ὁ οἶκος.

Τὸν ἐν σπηλαίῳ δι' ἡμᾶς τεχθέντα ἐκ Παρθένου, Χριστὸν τὸν ζωοδότην, ποθοῦντες οἱ ὁπλῖται, χορείαν ἤγειραν φαιδρὰν κατὰ τοῦ Βελίαρ· καὶ νικήσαντες σαφῶς εἰς γῆν αὐτὸν κατέρραξαν, ἄμετρα πάλαι τοῦτον καυχώμενον. Ὅθεν δᾳδουχοῦσι τοῖς ἐν σκότει, ὡς φωστῆρες ὑπάρχοντες τοῦ νοητοῦ ἡλίου· ἀστὴρ μὲν γὰρ τὸ πρὶν τοῖς μάγοις ἐπέστη, ὁδηγῶν εἰς Βηθλεὲμ πόλιν Ἰούδα· οὗτοι δὲ ἡμῖν κηρύττουσιν ἐν βασάνοις, ὃν ἡ Παρθένος ἀσπόρως ἐκύησε.



ΒΑΣΙΛΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro

# Τῇ 23 Δεκεμβρίου μνήμην ἐπιτελοῦμεν τῶν Ἁγίων ἐνδόξων καὶ πανευφήμων δέκα μαρτύρων, τῶν ἐν Κρήτῃ μαρτυρησάντων.

Τοῦ ποιμενάρχου θρέμματα Χριστοῦ δέκα,
Εἰσηλάθη τμηθέντα μάνδρᾳ μαρτύρων·
Εἰκάδι τῇ τριτάτῃ, δέκα ἐν Κρήτῃ τάμον ἄνδρας.

Οὗτοι οἱ ἅγιοι ὑπῆρχον κατὰ τοὺς χρόνους τοῦ βασιλέως Δεκίου ἐν ἔτει 250 καταγόμενοι ἐκ τῆς νήσου Κρήτης, ἀπὸ διαφόρους πόλεις καὶ χωρία αὐτῆς· ἀπὸ μὲν τὴν Μητρόπολιν Γορτύνην ἦσαν πέντε, ὁ Θεόδουλος, ὁ Σατορνῖνος, ὁ Εὔπορος, ὁ Γελάσιος καὶ ὁ Εὐνικιανός· ἀπὸ δὲ τὴν Κνωσὸν ἦτον ὁ Ζωτικός, ἀπὸ τὸν λιμένα τοῦ Πανόρμου ἦτον ὁ Ἀγαθόπους, ἀπὸ τὴν Κυδωνίαν, ὁ Βασιλείδης, καὶ ἀπὸ τὸ Ἡράκλειον ὁ Εὐάρεστος, καὶ ὁ Πόμπιος. Οὗτοι λοιπὸν παρεδόθησαν ἀπὸ τοὺς ἀπίστους εἰς τὸν ἄρχοντα τῆς Κρήτης· ὁ δὲ ἄρχων ἐπρόσταξε τὸν δήμιον νὰ τριγυρίζῃ αὐτοὺς εἰς τοὺς βωμοὺς τῶν εἰδώλων, καὶ ἐὰν δὲν θέλουν νὰ θυσιάσουν εἰς αὐτά, νὰ τιμωρῇ αὐτοὺς μὲ διαφόρους τιμωρίας· εἰς διάστημα λοιπὸν τριάκοντα ὁλοκλήρων ἡμερῶν, ἐδιώκοντο οἱ τοῦ Χριστοῦ ἀθληταὶ ἀπὸ τοὺς ἀτάκτους εἰδωλολάτρας καὶ ἐπεριπαίζοντο καὶ ἐδέροντο καὶ ἐλιθοβολοῦντο, καὶ ἐκολαφίζοντο, πρὸς ἐμπαιγμόν, καὶ ἐνεπτύοντο εἰς τὸ πρόσωπον, καὶ ἐσύροντο κατὰ γῆς ἐπάνω εἰς τὰς κοπρίας. Ὕστερον δὲ καθίσας ὁ Ἄρχων ἐπὶ τοῦ κριτηρίου, παρέστησεν αὐτοὺς ἔμπροσθέν του, καὶ βλέπων ὅτι εἶχον τὸ φρόνημα στερεόν, καὶ ἔμενον ἀσφαλῶς εἰς τὴν τοῦ Χριστοῦ πίστιν, ἐπρόσταξε καὶ ἐστρεβλώθησαν τὰ μέλη τῶν Ἁγίων. Καὶ ἀφοῦ μὲ πολλὰς βασάνους ἐβασανίσθησαν, τελευταῖον ἀπεκεφαλίσθησαν. Καὶ οὕτως ἔλαβον οἱ μακάριοι τοῦ μαρτυρίου τοὺς στεφάνους.

Ταῖς τῶν σῶν Ἁγίων μαρτύρων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.



## Ἐξαποστειλάριον.

Τοῖς μαθηταῖς συνέλθωμεν.

Σὺν Θεοδούλῳ στέψωμεν, Ζωτικὸν Ἀγαθόπουν, καὶ Σατορνῖνον Πόμπιον, ἅμα Εὐνικιανῷ, τὸν ἔνδοξον Βασιλείδην, Εὔπορόν τε τὸν θεῖον, καὶ τὸν κλεινὸν Γελάσιον, καὶ Εὐάρεστον ὕμνοις χαρμονικῶς, ταῖς πρεσβείαις τούτων ὅπως ῥυσθῶμεν, πταισμάτων καὶ στεφθείημεν, πρὸς Χριστοῦ τοῦ Σωτῆρος.

Προεόρτιον.

Οἱ ἀρετὴν ἀσκήσαντες, καὶ νεκρῶσαι τὰ πάθη, ἐν ἐγκρατείᾳ σπεύσαντες, ὥσπερ τρίβολον δῶρον, μετὰ ποιμένων καὶ μάγων, πρᾶξιν ἐπαινουμένην, καὶ θεωρίαν εὔστοχον, νῦν προσάξωμεν πίστει τῷ ἐν σαρκί, γεννηθῆναι μέλλοντι ἐκ Παρθένου, Θεῷ τῷ εὐδοκήσαντι, τὴν ἡμῶν σωτηρίαν.

## Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχ. δ'. καὶ ψάλλομεν τὰ παρόντα προσόμοια.

Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσι.

Ἀνυμνείσθω Εὐάρεστος, Ζωτικός τε καὶ Πόμπιος, Βασιλείδης, Εὔπορος, Ἀγαθόπους τε, καὶ Σατορνῖνος, Γελάσιος, καὶ θεῖος Θεόδουλος, μεθ' ὧν Εὐνικιανός, εὐφημείσθωσαν ᾄσμασιν, οἱ πολύαθλοι, οἱ τῆς Κρήτης προστάται καὶ γενναῖοι, ἀντιλήπτορες τῶν πόθῳ, ἐπιτελούντων τὴν μνήμην αὐτῶν.

Ὡς καλῶς στρατευσάμενοι, βασιλεῖ τῶν δυνάμεων, ἑαυτοὺς πολύαθλοι, παρεδώκατε, ἐθελουσίως εἰς μάστιγας, καὶ βίαιον θάνατον, καὶ στρεβλώσεις καὶ δεσμά, τὰ τῆς Κρήτης βλαστήματα· εἰς ἣν εὕρατε, τὸ μακάριον τέλος καὶ στεφάνους, ἀνεδήσασθε τῆς νίκης, ὑπὲρ ἡμῶν ἱκετεύοντες.

Ἀνενδότως τυπτόμενοι, καὶ βωμοῖς ἀπαγόμενοι, καὶ ποικίλοις εἴδεσιν ἐταζόμενοι, καὶ ἐν ὁδοῖς ἐλαυνό-

www.tezaurliturgic.ro


μενοι, εἱρκτῇ συγκλειόμενοι, καὶ ὡς ῥόδα καθαρά, ταῖς κοπρίαις ῥιπτόμενοι, προσηνέχθητε, δι' ἡμᾶς τῷ τυθέντι ὡς εὐώδη, ἱερεῖα ἐν τῇ ἄνω, τραπέζῃ μάρτυρες ἔνδοξοι.

Καὶ τυπτόμενοι μάρτυρες, καὶ προσώποις πτυόμενοι, κεφαλὰς τεμνόμενοι καὶ στρεβλούμενοι, καὶ πάσαις ἄλλαις κολάσεσι, καθυποβαλλόμενοι, οὐκ ἠρνήσασθε Χριστόν, οὐ ξοάνοις ἐθύσατε, ἀλλὰ χαίροντες, ἐκ ζωῆς τῆς προσκαίρου ἀθλοφόροι, πρὸς οὐράνιον καὶ θείαν, μετεβιβάσθητε εὔκλειαν.

Δόξα. Ἦχος πλ. β'.

Ἐν ᾠδαῖς ᾀσμάτων εὐφημήσωμεν πιστοί, τοὺς ἀθλοφόρους ἁγίους δέκα μάρτυρας, καὶ πρὸς αὐτοὺς μελῳδικῶς ἐκβοήσωμεν λέγοντες· Χαίρετε ἀθλοφόροι τοῦ Χριστοῦ, Θεόδουλε καὶ Ζωτικέ, Βασιλείδη καὶ Εὔπορε· Χαίρετε Γελάσιε καὶ Πόμπιε, Εὐνικιανὲ καὶ Ἀγαθόπου· Χαίρετε Εὐάρεστε καὶ Σατορνῖνε. Ὡς ἔχοντες παρρησίαν πρὸς Χριστὸν τὸν Θεὸν ἡμῶν, μάρτυρες πανσεβάσμιοι, αὐτὸν ἐκτενῶς πρεσβεύσατε τοῦ σωθῆναι τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν πανσέβαστον μνήμην ὑμῶν.

Καὶ νῦν. Προεόρτιον. ὁ αὐτός.

Ἀνύμφευτε παρθένε πόθεν ἥκεις; τίς ὁ τεκών σε; τίς καὶ ἡ μήτηρ σου; πῶς τὸν Κτίστην φέρεις ἐν ἀγκάλαις; πῶς οὐκ ἐφθάρης τὴν νηδύν; μεγάλων παραδόξων ἐπὶ γῆς φρικτῶν μυστηρίων ἐπὶ σοὶ τελουμένων, Πάναγνε ἀποροῦμεν, καὶ προευτρεπίζομεν ἐπάξιόν σοι χρέος, ἐπὶ γῆς τὸ σπήλαιον, καὶ οὐρανὸν αἰτοῦμεν παρασχεῖν τὸν ἀστέρα· καὶ μάγοι δὲ προέρχονται ἀπὸ Ἀνατολῶν τῆς γῆς, εἰς δυσμὰς θεάσασθαι, τὴν σωτηρίαν τῶν βροτῶν, ὡς βρέφος γαλουχούμενον.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν.

Ἀπόστολος καὶ Εὐαγγέλιον τῶν 4 μαρτύρων. Ζήτει ἔμπροσθεν Κοινων. Εἰς μνημόσυνον αἰώνιον ἔσονται δίκαιοι.

## Μεγαλυνάρια.

Αἱ γενεαὶ πᾶσαι, ὑμᾶς μακαριοῦμεν, Χριστοῦ τοὺς ἀθλοφόρους.

Βήματι τυράννων, παρέστητε γενναίως, Χριστὸν ὁμολογοῦντες.

Γενναίως τῶν ἀθέων, ὑπέστητε βασάνους, τριάκοντα ἡμέρας.

Γελάσιον τιμῶμεν, καὶ Εὔπορον ἐν ὕμνοις, καὶ Βασιλείδην ἅμα.

Δεκὰς μαρτύρων θεία, κινδύνων ῥῦσαι πάντας, τοὺς σὲ ὑμνολογοῦντας.

Δολίας παρατάξεις, καὶ ἄρχοντας τοῦ σκότους, κατέπτυσαν οἱ δέκα.

Εὐνικιανόν τε, καὶ Πόμπιον ὑμνοῦμεν, συνάμα Ἀγαθόπουν.

Ἑλκόμενοι κοπρίαις, τυπτόμενοι ἀδίκως, ὑπέμειναν οἱ δέκα.

Ἡ μνήμη τῶν μαρτύρων, προκαταγγέλει κόσμῳ, τὴν γέννησιν Κυρίου.

Θεόδουλον ὑμνοῦμεν, καὶ Ζωτικὸν καὶ θεῖον, Εὐάρεστον συμφώνως.

Κολαφισμοὺς καὶ ὕβρεις, καὶ ἐμπτυσμοὺς ἀθέων, ὑπέστητε ἀνδρείως.

Προσκυνοῦμεν πόθῳ, ὑμῶν εἰκόνα θείαν, μάρτυρες θεοφόροι.

Προσήξατε Κυρίῳ, τὰ αἵματα ὡς δῶρα, ὥσπερ οἱ πάλαι μάγοι.

Προεορτάζει Κρήτη, γενέθλια Κυρίου, τῇ μνήμῃ τῶν μαρτύρων.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΕΑ ΙΩΑΝΝΗ ΝΤΟΡΗ ΠΑΠΑΣΤΑΥΡΟΥ

www.tezaurliturgic.ro

Πολύφωτα ὡς ἄστρα, τῆς Ἐκκλησίας δέκα, ἐδείχθητε δι' ἄθλων.

Τοὺς διωγμοὺς ἀθέων, ἠνέγκατε ἡμέρας, τριάκοντα γενναίως.

Τοῦ Τίτου καὶ τοῦ Κάρπου, καὶ Παύλου ἀθλοφόροι, ἐδείχθητε φωτεῖα.

Τὰ αἵματα ὡς σμύρναν, τὴν πίστιν ὡς χρυσόν τε, προσήξατε Κυρίῳ.

Τῶν λίθων τὰς νιφάδας, καὶ διωγμοὺς ἀθέων, ἠνέγκατε γενναίως.

Τὴν Κρήτην ταῖς πρεσβείαις, ὑμῶν ἀεὶ φρουρεῖτε, προστάτας κεκτημένην.

Τὰ τίμια νῦν ἄνθη, ὑμνήσωμεν τῆς Κρήτης, ὡς μάρτυρας Κυρίου.

Ὑπὲρ Χριστοῦ βασάνους, ἠνέγατε ποικίλας, ὦ δέκα ἀθλοφόροι.

Χριστοῦ τοὺς ἀθλοφόρους, τοὺς δέκα μαργαρίτας, ὑμνήσωμεν συμφώνως.

Ὡς λίβανον θυσίαν, τὰ αἵματα Κυρίῳ, προσήξατε, ὦ δέκα.

Ὦ δέκα ἀθλοφόροι, ὑπὲρ εἰρήνης κόσμου, πρεσβεύετε ἀπαύστως.

Δόξα.

Τρισήλιε Θεότης, Πατὴρ Υἱὸς καὶ Πνεῦμα, ἐλέησον σοὺς δούλους.

*Καὶ νῦν.*

Ἀμόλυντε Παρθένε, μετὰ τῶν ἀθλοφόρων, ὑπὲρ ἡμῶν δυσώπει.

### Ἕτερον Μεγαλυνάριον.

Τῆς Κρήτης δέκα μάρτυρας τοῦ Χριστοῦ, τυράννων βασάνους ὑπομείναντας καρτερῶς, καὶ χύσιν αἱμάτων, ὑπὸ χειρῶν ἀνόμων, ἐν ὕμνοις ἐγκωμίων πιστοὶ τιμήσωμεν.

Ἀπολυτίκιον ἕτερον τῶν 4ων

Ἦχος γ'.

Τὸν καλλιμάρτυρα Κρήτης τιμήσωμεν τὸν ἐξανθήσαντα ἐν νέα μάρτυρας, Γεώργιον Ἀγγελῆν Μανούσο καὶ τὸν Νικόλαον. Τέσσαρες γὰρ ὑπάρχοντες καὶ τῆς Λάμπης οἱ ἥρωες δύναμιν ἐμφανίσαντες τὸν τύραννον κατῄσχυναν διὸ καὶ τοὺς στεφάνους ἐδέξαντο οἱ ἐν τῇ Ρεθύμνῃ σφαγέντες, μάρτυρες Χριστοῦ οἱ καρτερόψυχοι.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro

ΟΙ ΑΓΙΟΙ ΤΕΣΣΑΡΕΣ ΜΑΡΤΥΡΕΣ ΟΙ ΕΝ ΡΕΘΥΜΝΗ.




Ἐσχεδ. ὑπὸ Α. Β.

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΩΝ ΑΓΙΩΝ ΤΕΣΣΑΡΩΝ ΝΕΩΝ ΤΟΥ ΧΡΙΣΤΟΥ ΜΑΡΤΥΡΩΝ ΑΓΓΕΛΗ, ΜΑΝΟΥΗΛ, ΓΕΩΡΓΙΟΥ καὶ ΝΙΚΟΛΑΟΥ ΤΩΝ ΕΝ ΡΕΘΥΜΝΗ ΤΗΣ ΚΡΗΤΗΣ ΜΑΡΤΥΡΗΣΑΝΤΩΝ.

ψαλλομένη τῇ 28 Ὀκτωβρίου.

---

Ἑσπέρας, ἐν τῷ μεγάλῳ ἑσπερινῷ, στιχολογοῦμεν τὸ «Μακάριος ἀνήρ». Εἰς δὲ τὸ «Κύριε ἐκέκραξα», ἱστῶμεν στίχ. ϛʹ. καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος αʹ. Τῶν οὐρανίων ταγμάτων.

Νῦν ἡ σεβάσμιος μνήμη, τῆς σῆς ἀθλήσεως, ἡμᾶς συναγαγοῦσα, εὐφημῆσαι προτρέπει, τὰ τρόπαια τοὺς ἄθλους καὶ τὰς λαμπράς, ἀριστείας ἐν ᾄσμασιν· ἐν τῇ παρούσῃ ἑσπέρᾳ καὶ τῇ νυκτί, Ἀγγελῆ ἀθλητικώτατε.

Ἀποτμηθεὶς διὰ ξίφους, πάσας ἐξέτεμες, τὰς μηχανὰς τοῦ πλάνου, καὶ δολίου τυράννου, ὦ Μανουὴλ θεόφρον, διὸ τοὺς πιστῶς, τὴν σὴν μνήμην γεραίροντας, ῥῦσαι τῶν τούτου παγίδων ταῖς πρὸς Θεόν, εὐπροσδέκτοις ἱκεσίαις σου.

Ἐπὶ τῇ μνήμῃ προθύμως, δεῦτε συνέλθωμεν, τοῦ θείου Γεωργίου, καὶ λαμπρῶς εὐφρανθῶμεν, αὐτὸς γὰρ ἑστιάτωρ ὑπάρχει ἡμῖν, τοῖς πιστῶς προσιοῦσιν αὐτῷ· καὶ τῶν δεινῶν ἀπαλλάττει ταῖς πρὸς Θεόν, ἱκεσίαις αὐτοῦ πάντοτε.

Τῶν οὐρανίων τὰ κάλλη, ποθήσας ἔνδοξε, ὡς τῷ Χριστῷ συνεῖναι, μετ᾽ ἀγγέλων ἁγίων, παντοίας τὰς

www.tezaurliturgic.ro

βασάνους ὑπέστης στερρῶς, νεομάρτυς Νικόλαε, καὶ μαρτυρήσας γενναίως ὑπὲρ Χριστοῦ, συνευφραίνῃ τοῖς συνάθλοις σου.

Ὡς οἱ μεγάλοι φωστῆρες, τῷ στερεώματι, τῆς Ἐκκλησίας πίστει, ἀνατείλαντες πᾶσαν, τὴν κτίσιν φρυκτωρεῖτε ἄθλων αὐγαῖς, καὶ θαυμάτων λαμπρότησι, τὸ ζοφερὸν τῶν δαιμόνων καὶ τῶν παθῶν, ἐκδιώκοντες πανεύφημοι.

Ὁμονοήσαντες πίστει, καὶ ἓν φρονήσαντες, πολυειδεῖς βασάνους, ὑπεμείνατε ὄντως, Νικόλαε, Γεώργιε, Ἀγγελῆ, καὶ Μανουὴλ ἀξιάγαστοι· τὴν ἱερὰν ὑμῶν μνήμην ὅθεν σεπτῶς, οἱ πιστοὶ πανηγυρίζομεν.

Δόξα. Ἦχος β'.

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἐν τῇ μνήμῃ σήμερον τῶν ἀθλοφόρων, ὦ φιλέορτοι· δεῦτε εὐφημήσωμεν αὐτοὺς ἐν ᾠδαῖς καὶ ὕμνοις λέγοντες: Χαίρετε Ἀγγελῆ, Μανουήλ, Γεώργιε καὶ Νικόλαε· Χαίρετε οἱ τὴν πλάνην τῶν ἀπίστων ἐλέγξαντες, καὶ Χριστὸν τὸν Κύριον, Θεὸν καὶ Κτίστην τοῦ παντός, ἐνώπιον τυράννων κηρύξαντες· Ἀλλ' ὦ νεομάρτυρες τετράριθμοι, μὴ παύσητε πρεσβεύειν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου...

Εἴσοδος· Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας· καὶ τὰ Ἀναγνώσματα τῶν ἁγίων Πάντων. Ζήτει ἔμπροσθεν

Εἰς τὴν Λιτήν. Ἦχος α'.

Εὐφραίνεται ἐν Κυρίῳ πόλις ἡ Ῥέθυμνα, ἡ τὰ θεῖα τῶν τετραρίθμων μαρτύρων λείψανα κεκτημένη, Ἀγγελῆ, Μανουήλ, Γεωργίου καὶ Νικολάου· οὗτοι γὰρ οἱ μακάριοι, πρὸς τὸν τοῦ μαρτυρίου ἀγῶνα ὁρμήσαντες, ἀνδρείως ὑπῆλθον πρὸς τὸ στάδιον, μηδόλως



φειδόμενοι τοῦ γηΐνου αὐτῶν σώματος. Διὸ ὁ τῶν ἁπάντων Δεσπότης, στεφάνοις ἀμαραντίνοις ὡς νικητὰς αὐτοὺς ἔστεψε, καὶ τὴν ἀκένωτον αὐτοῖς χάριν τῶν θαυμάτων πεπλούτικεν· ἣν καὶ παρέχουσι πᾶσιν ἡμῖν τοῖς πιστοῖς, τοῖς ἐκ πόθου τὴν μνήμην αὐτῶν ἑορτάζουσι.

Ἦχος β'.

Μαρτύρων καλλονή, τετράριθμοι τοῦ Χριστοῦ νεομάρτυρες, ταῖς πρὸς Θεὸν εὐπροσδέκτοις πρεσβείαις ὑμῶν, προκόπτειν ἡμᾶς ταῖς ἀρεταῖς καταξιώσατε, ὡς παρρησίαν ἔχοντες πρὸς αὐτόν· ὃν τῇ ἐκχύσει τῶν ὑμῶν τιμίων αἱμάτων ἐδοξάσατε. Διὸ παριστάμενοι τῷ θρόνῳ αὐτοῦ, αἰτήσασθε δοθῆναι πᾶσιν ἡμῖν τοῖς τὴν ἱερὰν ὑμῶν μνήμην φαιδρῶς ἑορτάζουσιν, ἁμαρτιῶν συγχώρησιν, καὶ τελείαν ἀπαλλαγὴν τῶν ἀθέων τυράννων· ὧν τὰ ὀστᾶ παρὰ τὸν Ἅδην Ἅγιοι σκορπισθείησαν.

Ἦχος γ'.

Νέοι μὲν ὑπάρχοντες τῷ σώματι, γηραιοὶ δὲ τῷ φρονήματι, ἀθλοφόροι τετράριθμοι μάρτυρες, ἀνδρείως ηὐτομολήσατε πρὸς τὸ στάδιον ἔνδοξοι, περιφραξάμενοι αὐτοὺς θώρακι θείῳ τῆς πίστεως, καὶ τῇ τῆς χάριτος ἀσπίδι καὶ τῷ τοῦ Σταυροῦ δόρατι, ἅτινά εἰσιν ἀκαταμάχητα ὅπλα· δι' ὧν τῶν ἀθέων τυράννων τὸ θράσος κατεβάλετε, καὶ πρὸς τῷ θρόνῳ τῷ δεσποτικῷ ἀεὶ παρίστασθε· χαριζόμενοι πλουσίαν τὴν ἀκένωτον χάριν, τοῖς ἑορτάζουσιν Ἅγιοι, τὴν πανέορτον καὶ σεβάσμιον μνήμην ὑμῶν.

Ἦχος δ'.

Ἀθλοφόροι τοῦ Χριστοῦ τετράριθμοι νεομάρτυρες, τοῖς τῶν αἱμάτων ῥείθροις ὑμῶν, διὰ πολυτρόπων βασάνων, τὰ καρτερικὰ ὑμῶν σώματα ἐκδόσαντες, ἀδαμάντων στερρότεροι, τῇ ὑπομονῇ ἐδείχθητε. Ὅθεν ἀξίως

www.tezaurliturgic.ro



παρὰ Θεοῦ ἐδοξάσθητε, ὡς ἐν Εὐαγγελίοις γέγραπται, παρ' οὗ καὶ ἐκπέμπετε ὀρθοδόξοις τὰ ἰάματα, τοῖς ἐκ πόθου ἑορτάζουσιν Ἅγιοι, τὴν σεβάσμιον καὶ πανίερον μνήμην ὑμῶν.

Ἦχος πλ. δ'.

Ἡ Ῥέθυμνα σήμερον πᾶσα ἀγάλλεται, ἑορτάζουσα τοὺς ἀγῶνας, τῶν τεσσάρων αὐτῆς μαρτύρων· οὗτοι γὰρ διὰ Χριστὸν τὸ αἷμα αὐτῶν προθύμως ἐξέχεαν, καὶ τὴν πατρῴαν πίστιν αὐτῶν, τρανῶς τοῖς τυράννοις ὡμολόγησαν· διὸ καὶ τοὺς στεφάνους παρὰ Χριστοῦ τοῦ Θεοῦ ἀξίως λαβόντες, πρεσβεύουσιν ἀεὶ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος πλ. α'.

Ἀβρύνεται σήμερον ἡ Ῥέθυμνα, τοῖς αἵμασι φοινιχθεῖσα, τῶν νέων τοῦ Χριστοῦ μαρτύρων· καὶ τὰς τιμίας αὐτῶν κάρας, ὡς θησαυρὸν πλουτοῦσα, βοᾷ ἐν εὐφροσύνῃ· Γενναῖοι Χριστοῦ νεομάρτυρες, Μανουὴλ Γεώργιε, Ἀγγελῆ καὶ Νικόλαε· μὴ παύσητε πρεσβεύειν πρὸς Κύριον, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Μακαρίζομέν σε.

Ἀπόστιχα. Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσι.

Τετρακτὺν τὴν ὑπέρτιμον, τῶν μαρτύρων τιμήσωμεν, ἐν ᾠδαῖς καὶ ᾄσμασιν ἑορτάζοντες, τὸν Μανουὴλ καὶ Νικόλαον, Γεώργιον ἅμα τε, καὶ τὸν θεῖον Ἀγγελῆ, τοὺς στερρῶς ἐναθλήσαντας, καὶ αἰσχύναντας, τὴν ὀφρὺν καὶ τὸ θράσος τοῦ Βελίαρ, τῇ δυνάμει τοῦ Σωτῆρος, καὶ λυτρωτοῦ τῶν ψυχῶν ἡμῶν.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Εὐθαρσῶς κατῃσχύνατε, τὴν δυσσέβειαν μάρτυρες, αἰκισμοὶ καὶ βάσανοι γὰρ οὐκ ἔσεισαν, τὸ σταθερὸν τὸ τῆς πίστεως, ὑμῶν νεομάρτυρες, παρρησίᾳ δὲ Χριστῷ, ἐκραυγάζετε Ἅγιοι· τὰς ψυχὰς ἡμῶν, ὡς θυσίαν προσδέχου πανοικτίρμον, πανευώδη καὶ μαρτύρων, χοροῖς ἡμᾶς συναρίθμησον.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.

Τὰ τῆς Λάμπης βλαστήματα, καὶ Ῥεθύμνης στηρίγματα, καὶ Κρητῶν ἀμάραντα ἀγλαΐσματα, τοῦ παραδείσου οἰκήτορας, τὰ ἄνθη τὰ τίμια, καὶ εὐπρόσδεκτα Χριστοῦ, καὶ τερπνότατα σφάγια, ἀναθήματα, οὐρανίου ναοῦ τε τὴν τετράδα, τῆς Τριάδος τὴν ἁγίαν, μετ' εὐλαβείας ὑμνήσωμεν.

Δόξα. Ἦχος πλ. δ'.

Δεῦτε φίλαθλοι, τὴν τετραυγῆ τῶν μαρτύρων χορείαν, ἐν ᾠδαῖς καὶ ὕμνοις εὐφημήσωμεν· Μανουὴλ τὸν θεῖον, Ἀγγελῆ τὸν ἀοίδιμον, Νικόλαον καὶ Γεώργιον τοὺς θεόφρονας· ὅτι αἵματα ἔδωκαν καὶ ὠνήσαντο τὴν αἰώνιον ζωήν. Διὸ καὶ καρτερικῶς ἀντέλεγον τοῖς ἀπίστοις ἐχθροῖς· οὐ προκρίνομεν τὰ φθαρτὰ τῶν ἀφθάρτων, τὴν πίστιν τὴν ἔνθεον οὐκ ἐξαρνούμεθα· τὸν Κύριον ἡμῶν καὶ Θεὸν, οὐκ ἐγκαταλείψομεν, τὸν ἀεὶ βοῶντα τοῖς πιστοῖς· ὁ πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ ζήσεται.

Καὶ νῦν. Θεοτοκίον.

Τὰ οὐράνια ὑμνεῖ σε....

Ἀπολυτίκιον. Ἦχος δ'.

Ποίημα Μελετίου Ἀρχιεπισκόπου Κρήτης.

Τὴν πίστιν σεβόμενοι, τὴν ἀληθῆ εὐσεβῶς, Χριστὸν ἐκηρύξατε ἐπὶ ἀπίστων στερρῶς, τετράριθμοι μάρτυρες· ξίφεσι τοὺς αὐχένας, ἀπετμήθητε πόθῳ, ὅθεν τοῖς τῶν μαρτύρων ἠριθμήθητε δήμοις· καὶ νῦν ταῖς ἱκεσίαις ὑμῶν, ῥύσασθε κινδύνων ἡμᾶς.

Δόξα, ὁ αὐτός.

Ποίημα Καλλινίκου Ἐπισκόπου Ῥεθύμνης.

Τῆς Κρήτης γεννήματα, καὶ Λάμπης θρέμματα,

www.tezaurliturgic.ro

τοὺς τετραρίθμους νεομάρτυρας ἀνευφημήσωμεν, Γεώργιον Ἀγγελῆ, Μανουὴλ καὶ Νικόλαον· οὗτοι γὰρ διὰ πίστιν τοῦ Κυρίου σφαγέντες, τὸ αἷμα αὐτῶν ἐθελουσίως ἐν τῇ Ῥεθύμνῃ ἐξέχεαν· διὸ καὶ παρρησίαν ἔχοντες πρὸς Χριστόν, πρεσβεύουσιν ἀεί, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.* Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον.

## Εἰς τὸν Ὄρθρον.

*Μετὰ τὴν α΄. στιχολ. Καθίσματα*

*Ἦχος α΄.* Τὸν τάφον σου Σωτήρ.

Τῆς Κρήτης οἱ λαμπροί, καὶ σεπτοὶ πολιοῦχοι, ἀθλήσαντες στερρῶς, ἐτροπώσαντο πίστει, τὸν ὄφιν τὸν ἀρχέκακον, καὶ νομίμως ἐστέφθησαν· τούτων σήμερον, τὴν ἀξιέπαινον μνήμην, ἑορτάζοντες, μεγαλοφώνως τὸν πάντων, δοξάζομεν Κύριον.

*Δόξα. Ὅμοιον.*

Τεσσάρων ἱερῶς, ἀθλησάντων μαρτύρων, τὴν θείαν καὶ σεπτήν, ἑορτάζομεν μνήμην, τρυφῶντες τὰ θαύματα, καθ' ἑκάστην ὡς νάματα, ἅπερ βρύουσιν, ἐκ τῶν τιμίων λειψάνων, ἀποπαύοντες, τὰς τῶν πιστῶν ἀσθενείας, δυνάμει τοῦ Πνεύματος.

*Καὶ νῦν. Θεοτοκίον.*

Μαρία τὸ σεπτὸν τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων· σὺ γὰρ πέφυκας ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια καὶ κραταιὰ προστασία, καὶ σώζεις τοὺς δούλους σου.

*Μετὰ τὴν β΄. στιχολογίαν. Ἦχος δ΄.* Ὁ ὑψωθείς.

Καταβαλόντες τοῦ ἐχθροῦ τὰς ἐπάρσεις, τῇ καρτερίᾳ τῶν δεινῶν ἀθλοφόροι, τὸν οὐρανὸν ᾠκήσατε γηθόμενοι, Νικόλαε, Γεώργιε, Ἀγγελῆ, Μανουὴλ τε· ὅθεν



μακαρίζεσθε εἰς αἰῶνα αἰῶνος, ὑπὲρ ἡμῶν πρεσβεύοντες Χριστῷ, τῶν ἐκτελούντων ὑμῶν τὰ μνημόσυνα.

*Δόξα. Ὅμοιον.*

Οἱ νεομάρτυρες Χριστοῦ οἱ γενναῖοι, ἀγωνισάμενοι καλῶς, τὸν Βελίαρ, ὁλοτελῶς ἐβύθισαν αἱμάτων ταῖς ῥοαῖς· δέσμιοι γὰρ ἤχθησαν, καὶ εἱρκτῇ συγκλεισθέντες, ξίφεσιν ἐτμήθησαν, κεφαλὰς θαρσαλέως, στεφανηφόροι ὤφθησαν· διό, καὶ τοῖς μαρτύρων, χοροῖς ἠριθμήθησαν.

*Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τοῦ εὐχαρίστως ἀνυμνεῖν ἐκ καρδίας, τὰ σὰ ἐλέη Δέσποινα οἱ δοῦλοί σου, κράζοντες καὶ λέγοντες· Παναγία παρθένε, πρόφθασον καὶ λύτρωσαι, ἐξ ἐχθρῶν ἀοράτων, καὶ ὁρατῶν καὶ πάσης ἀπειλῆς, σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Μετὰ τὸν πολυέλεον. Ἦχος πλ. δ΄.* Τὴν σοφίαν καὶ Λόγον.

Τοῦ ἡλίου ἀκτίνων μᾶλλον ὑμεῖς, ἀπαστράπτοντες φέγγει μαρτυρικῷ, ὑπέρλαμπροι μάρτυρες, κόσμον ὅλον φωτίζετε, τὸν τῆς πλάνης ζόφον ἐκ μέσου διώκοντες, εὐσεβείας τὸ φάος πυρσεύετε ἅπασιν· ὅθεν εὐσχημόνως ὡς ἐν φαύσει ἡμέρας, τὴν τρίβον τῆς πίστεως, ἀπλανῶς διοδεύσαντες, τετράριθμοι Ἅγιοι· πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην ὑμῶν.

*Δόξα. Ὅμοιον.*

Ἀκινδύνως τὸν δρόμον τὸν εὐσεβῆ, ἐν σταδίῳ ἀθλοῦντες οἱ εὐκλεεῖς, ἐλπίδι διήνυσαν τῶν στεφάνων ῥωννύμενοι· τοὺς γὰρ ὑπεναντίους εἰς τέλεον ὤλεσαν, ἀνεμποδίστως τὴν νίκην αὐτῶν περαιώσαντες. Ὅθεν καὶ ἀφθόνως τοῖς αἰτοῦσιν ἐν πίστει, πηγάζουσι πάντοτε, τὴν πληθὺν τῶν ἰάσεων, οἷς ἐν πίστει βοήσωμεν·

www.tezaurliturgic.ro

Πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην ὑμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Χαῖρε θρόνε πυρίμορφε τοῦ Θεοῦ, χαῖρε Κόρη καθέδρα βασιλική, κλίνη πορφυρόστρωτε, χρυσοπόρφυρε θάλαμε, χλαμὺς ἁλουργόχροε, τιμαλφέστατον τέμενος, ἀστραπηφόρον ἅρμα, λυχνία πολύφωτε· χαῖρε Θεοτόκε, δωδεκάτειχε πόλις, καὶ πύλη χρυσήλατε καὶ παστὰς ἀγλαόμορφε, ἀγλαόχρυσε τράπεζα, θεοκόσμητον σκήνωμα· χαῖρε ἔνδοξε νύμφη ἡλιοστάλακτε, χαῖρε μόνη ψυχῆς ἡμῶν ἡ εὐπρέπεια.

Οἱ ἀναβαθμοί. *Προκείμενον, ἦχος δ'.*

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

*Στίχ.* Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

*Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων.... *Ζήτει ἔμπροσθεν.*

*Δόξα.* Ταῖς τῶν ἀθλοφόρων. *Καὶ νῦν.* Ταῖς τῆς Θεοτόκου.

*Στίχ.* Ἐλέησόν με ὁ Θεός. *ἦχος πλ. β'.*

Σήμερον ἡ τετραυγὴς τῶν μαρτύρων ὁμήγυρις, ὡς σελασφόρων ἀστέρων συνέλευσις, τοὺς πιστοὺς σελαγίζουσα πρὸς μυστικὴν εὐφροσύνην ἐκάλεσε· σήμερον γὰρ Ἀγγελῆς καὶ Μανουὴλ, Γεώργιος καὶ Νικόλαος, οἱ τοῦ Χριστοῦ νεομάρτυρες, ἐκέρασαν πλήρη τὸν ἀθλοφορικὸν αὐτῶν κρατῆρα· καὶ τοῖς διὰ Χριστὸν ἐκχυθεῖσιν αἵμασιν, ἑαυτοὺς ἔστεψαν, ἡμᾶς προτρεπόμενοι τοὺς εὐσεβείας ἐραστὰς, πρὸς ἑστίασιν τῶν ἀγώνων αὐτῶν· πρὸς αὐτοὺς οὖν βοήσωμεν· μὴ παρασιωπήσητε, τοῦ βοᾶν ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Ὁ Παρακλητικὸς Κανὼν τῆς Θεοτόκου, καὶ τῶν Ἁγίων δ μαρτύρων.



Ποίημα Καλλινίκου Ἐπισκόπου Ῥεθύμνης.

*Ὠδὴ α'. ἦχος δ'.* Δεῦτε λαοί.

Δεῦτε πιστοὶ, ἅπαντες χεῖρας κροτήσωμεν, καὶ θεοφθόγγοις ᾄσμασι πανηγυρίσωμεν, τῶν τεσσάρων μαρτύρων τοὺς ἄθλους, Χριστὸν δοξολογοῦντες, ὅτι δεδόξασται.

Ὅπλον ἡμῖν, θεῖον ἐδείχθη καὶ καύχημα, τὸ τοῦ Σωτῆρος τρόπαιον, ἡ ἀκαθαίρετος τοῦ Σταυροῦ πανοπλία· δι' ἧς οἱ τετράριθμοι μάρτυρες ἐστεφανώθησαν.

Ξίφος βασάνους, βόθρον τε σταυρὸν καὶ θάνατον, τοῖς ἀοιδίμοις τέσσαρσι μάρτυσιν ἐπανέτειναν, οἱ τοῦ θείου διῶκται, ζωὴν πρὸς τὴν ἀγήρω αὐτοὺς ἐλαύνοντες.

Θεοτοκίον.

Ἄρτον ζωῆς, τέτοκας τὸν ἐπουράνιον, σεσαρκωμένον Πάναγνε, τὸν ἐνυπόστατον τοῦ Γεννήτορος Λόγον· διό σε καὶ οἱ τέσσαρες μάρτυρες δοξάζουσι.

*Ὠδὴ γ'.* Τῆς πίστεως ἐν πέτρα με.

Καθεῖλον οἱ ἐν Ῥεθύμνῃ τέσσαρες μάρτυρες, τῷ πάθει σου τῷ θείῳ δυναμωθέντες, τῆς πλάνης τὴν σκοτόμαιναν θαρσαλέως, ἐν πίστει κράζοντες· σὺ εἶ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἅγιος πλήν σου Κύριε.

Ῥανίσι θείου αἵματος ῥαντισθέντες, τυράννου βδελυξάμενοι ἀνομίαν, θυσία προσηνέχθητε τῷ Κυρίῳ, ἐκκοπτόμενοι καὶ πίστει κράζοντες· ὡς οὐκ ἔστιν ἅγιος πλήν σου Κύριε.

Ὅλον σε κεκτημένοι οἱ ἀθλοφόροι, ταῖς ἑαυτῶν καρδίαις ἐνοικισθέντα, τρανοῦντες τὴν εὐσέβειαν ἀνεβόων· οὐκ ἔστιν ἅγιος ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος πλήν σου Κύριε.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Τὴν μόνην παρθενεύουσαν μετὰ τόκον, πρὸς πίστιν τῆς θεότητος τοῦ τεχθέντος, τιμῶμέν σε κραυγάζοντες τῷ Υἱῷ σου· οὐκ ἔστιν ἅγιος ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος πλήν σου Κύριε.

Κάθισμα. ἦχος γ'. Θείας πίστεως.

Γόνοι ἔντιμοι, τῆς Λάμπης ἦτε, στύλοι ἄσειστοι Ῥεθύμνης, ἅμα θεῖοι πύργοι αὐτῶν ἐνυπάρχετε· τῆς μὲν γὰρ κλάδοι σεπτοὶ ἀνεδείχθητε, τὴν δὲ τοῖς ὑμῶν ἐφοινίξατε αἵμασι· νέοι μάρτυρες, Χριστὸν ἱκετεύσατε, τοῦ περιέπειν αὐτῶν τὴν εὐσέβειαν.

Δόξα, Καὶ νῦν. Θεοτοκίον.

Θαῦμα μέγιστον, πῶς συνεσχέθη, ὁ ἀχώρητος ἐν τῇ γαστρί σου, καὶ ἐσαρκώθη καὶ ἐφάνη ὡς ἄνθρωπος, μὴ ὑπομείνας φυρμὸν ἢ διαίρεσιν, τῆς θεϊκῆς καὶ ἀτρέπτου θεότητος, Κόρη πάναγνε· διὸ θεοτόκον σε πιστῶς, κηρύττομεν ἀεὶ καὶ δοξάζομεν.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε τὴν ἀκοήν.

Ἐμιμήσαντο πάθος σου, τοῦ ἀπαθοῦς προθύμως, τῷ θανάτῳ ἑαυτοὺς ἐκδόντες, οἱ ἐν Ῥεθύμνῃ τέσσαρες μάρτυρες.

Ἱκετεύοντας πρόσδεξαι τοὺς νεομάρτυρας, καὶ λύσιν τῶν πταισμάτων, πειρασμῶν τε δίδου ἡμῖν, πρεσβείαις αὐτῶν καὶ εὐχαῖς.

Σεσιώπηται ἅπασα πλάνη δαιμόνων Χριστέ· Θεὸν γάρ σε τὸν ὄντως ἀληθῆ, οἱ ἐν Ῥεθύμνῃ μάρτυρες ἀνεκήρυξαν.

Θεοτοκίον.

Θεοτόκον σε ἔσεβον οἱ νεομάρτυρες, Θεὸν σεσαρκωμένον τὸν Υἱόν σου, Δέσποινα καταγγέλλοντες.



Ὠδὴ ε'. Ὁ τοῦ φωτὸς χορηγός.

Ὡραιοτάτην στολήν, πεφοινιγμένην εὐσεβῶς αἵματι μαρτυρικῷ, καὶ λελαμπρυσμένην τῇ χάριτι τῇ σῇ, νῦν οἱ ἐν Ῥεθύμνῃ, μάρτυρες Χριστὲ ἠμφιάσαντο.

Χάρις καὶ ἔλεος, τοῦ παντοκράτορος Θεοῦ, στέφουσι τοὺς ἀθλητάς· τῷ πόθῳ κατάλληλον νέμοντος ἰσχύν, δι' ἧς νικηφόροι ἐδείχθησαν, οἱ ἐν Ῥεθύμνῃ νεομάρτυρες.

Ῥάβδον δυνάμεως, τοῖς νεομάρτυσι τὸν Σταυρὸν δέδωκας, καὶ τῶν ἐχθρῶν κατακυριεύοντας, ἐποίησας τούτους· διό σου ὑμνοῦμεν Χριστὲ τὴν θεότητα.

Θεοτοκίον.

Ἱερουργὸν ἐκ Δαβίδ, καταγομένη τὸν Χριστὸν τέτοκας· ὅθεν Ἁγνὴ τῆς Ἱερωσύνης μετατιθεμένης, ἀνάγκη καὶ νόμου μετάθεσις γίνεται.

Ὠδὴ ς'. Ἄβυσσος ἁμαρτιῶν.

Σάλπιγγος ἠχὴ κροτείτω, πνευματικὴ ἐπαξίως, λογικῶν χειλέων καρδία ὕμνον ἐκπέμπουσα, καὶ μέλπουσα τῶν ἐν Ῥεθύμνῃ νεομαρτύρων τοὺς ἄθλους.

Τέτρωνται τῶν ἀσεβούντων καὶ δυσμενῶν αἱ καρδίαι· Χριστὸς γὰρ ἐκτείνας τὸν σταυρὸν ὡς τόξον, ἀπέστειλε τοὺς μάρτυρας βέλη ἠκονημένα.

Ὅπλοις τῆς δικαιοσύνης καὶ πίστεως οἱ νεομάρτυρες, ἑαυτοὺς πρὸς πάλην ἐχθρῶν ἀσάρκων καθώπλισαν, καὶ τέλεον ἐξηφάνισαν αὐτούς.

Θεοτοκίον.

Λύτρωσον ἀπὸ κινδύνων τοὺς δούλους σου Θεοτόκε, ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς ἄρρηκτον τεῖχος καὶ προστασίαν.

Κοντάκιον, ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τῇ πίστει Χριστοῦ, τραφέντες πανᾳοίδιμοι, τὸν θεῖον Σταυρὸν ὡς θώρακα κατέχοντες, ἀσεβῶν φρυάγ-

www.tezaurliturgic.ro

ματα, καὶ μανίαν στερρῶς κατεβάλετε, ἀθλοφόροι τετράριθμοι, πρεσβείας ποιοῦντες ὑπὲρ πάντων ἡμῶν.

Ἕτερον, ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τοὺς γενναίους μάρτυρας, τοὺς ἐκ τῆς Λάμπης, ἐν Ῥεθύμνῃ θνήξαντας, ὑπὲρ Χριστοῦ τε τοῦ Θεοῦ, εὐσεβοφρόνως ὑμνήσωμεν, τὴν τούτων μνήμην φαιδρῶς ἑορτάζοντες.

Ὁ οἶκος.

Τὸν ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας τυθέντα Χριςὸν τὸν Θεὸν ποθοῦντες οἱ νέοι μάρτυρες, σπεύδουσι θανεῖν ὑπὲρ αὐτοῦ, πόθον μέγαν τε καὶ θεῖον ἐν καρδίᾳ ἐσχηκοτες, αὐτοὶ ἑαυτοὺς προσῆγαγον· τούτους οὖν καὶ ἡμεῖς, τοὺς τέσσαρας νεομάρτυρας, ὡς θερμοὺς προστάτας ἀνυμνήσωμεν πίστει, ὡς ἐνδόξους ὄντας Χριστοῦ δούλους, μιμουμένους σαφῶς τὸν ἴδιον Δεσπότην, καὶ πρεσβείας ποιοῦντας ὑπὲρ πάντων ἡμῶν.

## Τῷ 28 Ὀκτωβρίου μνήμην ἐπιτελοῦμεν τῶν Ἁγίων ἐνδόξων τεσσάρων νεομαρτύρων, Ἀγγελῆ, Μανουὴλ, Γεωργίου καὶ Νικολάου, τῶν ἐν Ῥεθύμνῃ τῆς Κρήτης μαρτυρησάντων.

Αἱς δύο οὐράνιοι ὁπλῖται,
Ἐχθρὸν καταβαλόντες εἰς οὐρανοὺς ἀνῆλθον.
Ὀγδοάτῃ ἄορ εἰκάδι δὶς δύω τέμει μαρτύρων αὐχένας.

Οὗτοι οἱ τέσσαρες νεομάρτυρες ἦσαν υἱοὶ γονέων θεοσεβῶν, οἵτινες ἦσαν μὲν Χριστιανοὶ ὀρθόδοξοι πράττοντες ἅπαντα τὰ τῶν Χριστιανῶν ἔθιμα, καὶ ἀπολαμβάνοντες μυστικῶς ἅπαντα τὰ τῆς Ἐκκλησίας μυστήρια, ἀλλὰ εἰς τὸ φαινόμενον ἦσαν Ὀθωμανοὶ διὰ τὸν φόβον (διότι τοιοῦτοι πολλοὶ εἰς τὴν νῆσον τῆς



Κρήτης εὑρίσκονται ἀπὸ τῆς ἁλώσεως αὐτῆς). Τοιοῦτοι λοιπὸν ὄντες καὶ οἱ τέσσαρες οὗτοι νεομάρτυρες, καθὼς καὶ οἱ γονεῖς αὐτῶν, ἐγεννήθησαν καὶ ἀνετράφησαν ἐν τῇ κώμῃ Μέλαμπες τῆς Ἐπαρχίας ἁγίου Βασιλείου, τιμωμένης μὲ Ἐπίσκοπον Λάμπης τῆς νήσου Κρήτης· ἦσαν δὲ ὁ μὲν Μανουὴλ καὶ Ἀγγελῆς γνήσιοι ἀδελφοί, υἱοὶ Ἰωάννου Ῥετζέπη, ὁ δὲ Γεώργιος υἱὸς Κωνσταντίνου Ῥετζέπη, καὶ ὁ Νικόλαος υἱὸς Ἰωάννου Ῥετζέπη, νέοι καὶ γενναῖοι, Ὀθωμανικοῖς ὀνόμασι προσαγορευόμενοι εἰς τὸ φαινόμενον, καθὼς καὶ οἱ γονεῖς αὐτῶν, γεωργοὶ τὸ ἐπιτήδευμα, ἔχοντες τέκνα καὶ γυναῖκας, τὰς ὁποίας εἶχον νυμφευθῇ μυστικῶς κατὰ τοὺς κανόνας τῆς ἱερᾶς ἡμῶν θρησκείας, τελέσαντες ὅμως καὶ τὰ Ὀθωμανικὰ ἔθιμα εἰς τοὺς γάμους των· οὕτω δὲ διάγοντες τὸν βίον ἐνέμοντο ἅπαντα τὰ τῶν Ὀθωμανῶν δικαιώματα, οὔτε φόρον πληρόνοντες οὔτ' ἄλλοτι τῶν ὅσα οἱ Χριστιανοὶ ἀπέδιδον, καὶ παρὰ τῶν Ὀθωμανῶν ἔμενον ἀνενόχλητοι ἐφ' ὅσον ἐφαίνοντο οὕτω.

Ὅτε δὲ τῷ αωκά. ἔτει ἅπαντες οἱ ἐν τῇ νήσῳ ταύτῃ Χριστιανοὶ ἦραν τὰ ὅπλα κατὰ τῆς δυναστείας τῶν Τούρκων, καὶ ἐμάχοντο μετὰ τῆς Ἑλλάδος ὑπὲρ ἐλευθερίας, τότε καὶ οἱ θεῖοι οὗτοι μάρτυρες φλεγόμενοι ὑπὸ ζήλου εὐσεβείας, συνετάχθησαν μετὰ τῶν Χριστιανῶν, ζητοῦντες τὴν ἐλευθερίαν τῆς πατρίδος, ὅπως ἐκτελῶσι τὰ θρησκευτικά των ἡσύχως καὶ ἀφόβως. Μετὰ τριῶν δὲ καὶ ἐπέκεινα ἐτῶν γενναίαν ἀντίστασιν, ἠναγκάσθησαν οἱ Χριστιανοὶ νὰ ὑποκύψουν αὖθις εἰς τὸν Τουρκικὸν ζυγόν, τῷ αωκδ'. ἔτει, νικηθέντες ὑπὸ τῶν Ὀθωμανῶν, εἰς τοὺς ὁποίους εἶχον ἔλθει ἐξ Αἰγύπτου ἐπικουρικὰ στρατεύματα. Τότε δὲ οἱ Χριστιανοὶ πάντες ἀφωπλίσθησαν ὑπὸ τῆς Ἐξουσίας, πλῆθος δὲ ἀνδρῶν, γυναικῶν καὶ παίδων ἠχμαλωτίσθησαν. Οἱ δὲ θεῖοι οὗτοι μάρτυρες διασωθέντες ἐκ τοῦ πολέμου, διέμενον ἐν τῇ

www.tezaurliturgic.ro

κώμη των ὡς Χριστιανοὶ φανεροί, ἀναφανδὸν ἐκτελοῦντες τὰ Χριστιανικὰ αὐτῶν χρέη. Ὅτε δὲ ἐζήτησαν οἱ ἐξουσιασταὶ Ὀθωμανοὶ τοὺς φόρους παρὰ τῶν κατατροπωθέντων Χριστιανῶν καὶ τὰ λοιπὰ συνήθη δικαιώματά των, εὗρον τοὺς Ἁγίους προθύμους εἰς τὴν ἀπόδοσιν τῶν φόρων των μετὰ τῶν λοιπῶν Χριστιανῶν· γνωρίζοντες δὲ αὐτοὺς πρότερον Ὀθωμανούς, τοὺς παρεκίνουν, ἵνα ἐν τῇ θρησκείᾳ ἐκείνῃ ἐπανέλθωσι, καὶ οὕτω ἀπαλλαχθῶσι τοῦ φόρου καὶ νέμωνται πάλιν ἅπαντα τὰ Ὀθωμανικὰ προνόμια· αὐτοὶ δὲ οὐδόλως ἐνέδωκαν εἰς τὰς συμβουλὰς αὐτῶν, οὔτε εἰς τοὺς κολακευτικοὺς λόγους των, ἀλλ' ὑπὲρ τῆς εὐσεβείας ἀγωνιζόμενοι, ὡμολόγουν ὅτι Χριστιανοὶ ὑπάρχουσιν ὡς καὶ οἱ γονεῖς των, καὶ τὸν φόρον μετὰ προθυμίας ἀποδίδουσιν. Ὅθεν βλέποντες οἱ εἰσπράκτορες τῶν φόρων τὴν στερέωσιν τῶν ἀοιδίμων Ἁγίων εἰς τὴν ὀρθοδοξίαν, ἀνήγγειλαν τοῦτο εἰς τὸν Διοικητὴν τῆς Ῥεθύμνης, πόλεως ἐν Κρήτῃ, Μεχμὲτ Πασσᾶν λεγόμενον. Ὅστις ἀποστείλας τινὰς τῶν ὑπ' αὐτὸν ἐκράτησεν αὐτοὺς καὶ δεσμίους ἐκ τῆς κώμης των εἰς τὴν Ῥέθυμναν ἤγαγεν· οὓς καὶ παρουσιάσας ἔμπροσθέν του, ἐπηρώτησε τίνα θρησκείαν σέβονται· αὐτοὶ δὲ οἱ μακάριοι οὐδόλως φοβηθέντες, ὡμολόγησαν τὴν τῶν Χριστιανῶν, καὶ ὅτι καὶ ἀπ' ἀρχῆς Χριστιανοὶ ὑπῆρχον, βεβαπτισμένοι ἐν ὀνόματι τῆς Παναγίας Τριάδος, καθὼς καὶ οἱ γονεῖς των, καὶ τὸν Χριστὸν ὡς μόνον Θεὸν λατρεύουσι.

Παρακινηθέντες δὲ ὑπὸ τοῦ Διοικητοῦ, ἵνα ἀρνηθῶσιν αὐτὴν τὴν θρησκείαν καὶ εἰς τὴν Ὀθωμανικὴν αὖθις ἐπανέλθωσι, διδόντος αὐτοῖς δωρεὰς καὶ ὑποσχομένου βαθμοὺς καὶ μεγάλα ἀξιώματα, αὐτοὶ δὲν ἤθελον οὔτε κἂν νὰ ἀκούωσιν, ἀλλ' ἐβόων ὅτι, «ἀπ' ἀρχῆς Χριστιανοὶ εἴμεθα, καὶ Χριστιανοὶ θέλομεν ἀποθάνει». Τέλος μὴ πειθομένους εἰς φυλακὴν αὐτοὺς



δεσμίους ἀπέστειλεν· ἐν τῇ εἱρκτῇ δὲ ὄντας παρεκίνουν αὐτοὺς αὖθις ἐπὶ τὸ αὐτὸ κατὰ διαταγὴν τοῦ Διοικητοῦ· ἀλλ' αὐτοὶ πάντοτε τὸν αὐτὸν ἐβόων λόγον· καὶ αὐτὸς ὁ Διοικητὴς αὖθις ἐπαρουσίασε τοὺς Ἁγίους ἔμπροσθέν του καὶ ὡμίλησε καὶ ἐσυμβούλευσεν αὐτούς, ποιῶν αὐτοῖς καὶ κολαστήρια· ἀλλ' οὐδὲν κατώρθωσε μὴ δυνηθεὶς νὰ μεταβάλῃ τὴν γνώμην των, βοώντων ὅτι, «ὑπὲρ Χριστοῦ θέλομεν ἀποθάνει».

Βλέπων δὲ ὁ Διοικητὴς τὸ ἀμετάθετον τῆς γνώμης των καὶ τὴν στερέωσιν αὐτῶν εἰς τὴν Χριστιανικὴν θρησκείαν, καὶ ὅτι οὔτε τὰ δῶρα οὔτε αἱ ἀπειλαὶ μεταβάλλουσιν αὐτούς, ἀπεφάσισε τὴν τελευταίαν αὐτῶν ποινήν, τὸν θάνατον· καὶ οὕτω ἐκδοθείσης τῆς ἀποφάσεως, ἤγαγον αὐτοὺς εἰς τὴν τοῦ θανάτου ποινήν, εἰς τὸν τόπον ὅπου τοὺς καταδίκους ἐφόνευον, λεγόμενον Μεγάλην πόρταν τῆς Ῥεθύμνης, ὅπου καὶ ὁ δήμιος κατέκοψε τὰς κεφαλὰς αὐτῶν, ἀναβοώντων μέχρι τῆς τελευταίας αὐτῶν ἀναπνοῆς, τό, «Κύριε ἐλέησον»· καὶ οὕτως οἱ ἀοίδιμοι παρέδωκαν τὰς ἁγίας αὐτῶν ψυχὰς τῷ Κυρίῳ. Κατέλιπον δὲ τὰ ἅγια αὐτῶν λείψανα ἐκεῖ ἕως τρεῖς ἡμέρας ὡς καταδίκων πρὸς περιφρόνησιν αὐτῶν. Ἐν αὐταῖς δὲ ταῖς ἡμέραις οἱ χωροφύλακες τῆς πόλεως ταύτης Ὀθωμανοὶ ἔβλεπον φῶς εἰς τὰ ἅγια λείψανά των, καὶ βλασφημοῦντες αὐτοὺς ὠνείδιζον λέγοντες, ὅτι πῦρ ἐκ τοῦ οὐρανοῦ κατῆλθεν, ἵνα κατακαύσῃ αὐτούς. Θανατώσαντες δὲ τοὺς Ἁγίους ἔφεραν τὰς γυναῖκας καὶ τὰ τέκνα αὐτῶν καὶ ἠχμαλώτισαν αὐτάς· μετὰ δὲ τρεῖς ἡμέρας Χριστιανοί τινες ὄντες ἐν τῇ πόλει, ἀνεφέρθησαν εἰς τὸν τοῦ Διοικητοῦ διερμηνέα Μανουὴλ Παππαδάκην, καὶ αὐτὸς ζητήσας τὰ τῶν μαρτύρων λείψανα παρ' αὐτοῦ, ἀπέστειλε τὸν Ἀντώνιον Πουζβούνην καὶ τὸν Γεώργιον Λαγὸν μεθ' ἑτέρων τινῶν, οἵτινες μετεκόμισαν αὐτά.

www.tezaurliturgic.ro

εἰς τὴν ἐν τῇ κώμῃ Περιβόλια Μονὴν τοῦ ἁγίου Γεωργίου, ἔνθα καὶ ἐνεταφίασαν αὐτά. τὸ δὲ ἐκχυνόμενον αἷμα, καθὼς καὶ τὰ ἱμάτια αὐτῶν, ἐξ ὧν ἔλαβον οἱ Χριστιανοί τινα, ἐποίουν πάμπολλα θαύματα. Μετὰ ἓν ἔτος δὲ ὁ ἐν Ῥεθύμνῃ γενόμενος Ἀρχιερεὺς Ἰωαννίκιος ἀποστείλας εὗρε τὰ ἅγια αὐτῶν λείψανα· καὶ τὰς μὲν κάρας καὶ μέρος τῶν λειψάνων ἔφερεν εἰς τὴν ἐν Ῥεθύμνῃ Ἐκκλησίαν· ἐξ ὧν τὴν μίαν κάραν ἔδωκεν εἰς ἕνα πλοίαρχον Ῥῶσσον ἵνα φέρῃ αὐτὴν εἰς τὴν Ῥωσσίαν, τὰ δὲ λοιπὰ λείψανα ἀπέστειλεν εἰς τὴν Μονὴν τοῦ ἁγίου Κωνσταντίνου, ἐπονομαζομένην τοῦ Ἀρκαδίου, ἅτινα διενεμήθησαν τοῖς ὀρθοδόξοις ἱερωμένοις τε καὶ λαϊκοῖς, ποιοῦντα ἄπειρα θαύματα· καθότι ὅστις τῶν Χριστιανῶν μετὰ πίστεως παρεκάλει αὐτούς, ἰατρεύετο ἐξ οἱασδήποτε ἀσθενείας ἔπασχε, δοξάζοντος τοῦ Κυρίου τοὺς ὑπὲρ αὐτοῦ ἐναθλήσαντας Ἁγίους. Ὧν ταῖς πρεσβείαις ὁ Θεὸς ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Εἰκόνος χρυσῆς.

Σαρκῶν Δανιήλ, οὐκ κατίσχυσάν ποτε λεόντων στόματα, ἀλλ' οὐδὲ θάνατος τῶν νεομαρτύρων σου· ἐν χειρί σου γὰρ Κύριε, ζῶσιν αἱ ψυχαὶ τῶν δικαίων, ἀγαλλιῶσαι καὶ ψάλλουσαι· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ἡ φλὸξ τοῖς τρισίν, ἐδροσίζετο παισὶν ἐν Βαβυλῶνί ποτε, τοῖς νεομάρτυσι δὲ ἡ παράνομος κατεφλέγετο ἄνοια· ὅθεν τὴν ἀπάτην ὁρῶντες, τεφρουμένην ἐκραύγαζον· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Τῷ πόθῳ Χριστέ, ἐκκαιόμενοι τῷ σῷ οἱ νεομάρτυρες, ὥσπερ ἀνάλωτον περικείμενοι τὸ τῆς σαρκὸς περιβόλαιον, βασάνων ἀλγεινῶν κατεφρόνουν, σοὶ ἐντρυφῶντες καὶ λέγοντες· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.



Θεοτοκίον.

Σὲ βάτον Μωσῆς, ἐν τῷ ὄρει τῷ Σινᾶ πυρπολουμένην, Ἁγνὴ προεθεώρει τὴν ἐνέγκασαν, ἀκαταφλέκτως τὴν ἄστεκτον, αἴγλην τῆς ἀρρήτου οὐσίας, ἑνωθείσης παχύτητι, σαρκὸς μιᾶς τῶν ἐν αὐτῇ, ἁγίων ὑποστάσεων.

Ὠδὴ η΄. Τὸν ἀρρήτῳ σοφίᾳ.

Μεμηνότων τυράννων τὴν δυσκάθεκτον μανίαν, οἱ νεομάρτυρες κατέβαλον, διαπρυσίως μελῳδοῦντες· εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἀνανήψατε πλάνοι, καὶ ἐπίγνωτε τὸν Κύριον, ὥπερ ὄντως οἱ ἐκ τῆς Λάμπης, ἔνδοξοι μάρτυρες ἀνεβόων· εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ῥητορεύειν μηδόλως μελετήσαντες, οἱ ἐν Ῥεθύμνῃ μάρτυρες, Πνεύματος δὲ θείου πλησθέντες ἐβόων· εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Θεοτοκίον.

Τῶν γενναίων τούτων νεομαρτύρων, ὡραιώθησαν ἐν χάριτι, οἱ πόδες τρισυπόστατον φύσιν εὐαγγελιζομένων, καὶ Θεοτόκον ὁμολογούντων· εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ΄. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Ῥάβδον δυνάμεως θείας, τὸν σταυρὸν κεκτημένοι, ἐβόων τῷ Χριστῷ οἱ ἀθληταί, οἱ τετράριθμοι· Δέσποτα, πανσθενεῖ τροπαιούχῳ, τῇ σῇ στεφανωθείημεν χειρί, ἵνα πάντες σε ὕμνοις ἀπαύστως μεγαλύνωμεν.

Ῥευστὴν οἱ ἐν Ῥεθύμνῃ μάρτυρες, δόξαν καὶ πλοῦτον Χριστέ, καταλιπόντες ἐπὶ γῆς, σὲ τὸ τῆς δόξης ἀπαύγασμα, ἀναφαίρετον πλοῦτον εὑρόντες, αἰωνίων ἀγαθῶν κληρονόμοι, ἀξίως ἐν οὐρανοῖς ἐγένοντο.

www.tezaurliturgic.ro

Νενικηκότες τοῖς ἄθλοις, καὶ τῇ τρισυποστάτῳ Τριάδι παρεστῶτες ἀθληταί, νῦν δωρηθῆναι πρεσβεύσατε, τὴν εἰρήνην τῷ κόσμῳ, νίκας τοῖς εὐσεβέσι κατ' ἐχθρῶν, πᾶσι τε σωτηρίαν τοῖς ὑμᾶς γεραίρουσι.

Θεοτοκίον.

Χαῖρε πηγὴ ἀφθαρσίας· χαῖρε κούφη νεφέλη· χαῖρε τερπνὲ παράδεισε Θεοῦ· χαῖρε πηγὴ ἰαμάτων ψυχῶν· χαῖρε ἅγιον ὄρος, ὃ εἶδεν ὁ προφήτης Δανιήλ· χαῖρε Μῆτερ Παρθένε· χαῖρε ἡ πάντων Ἄνασσα.

## Ἐξαποστειλάριον.

Τοῖς μαθηταῖς συνέλθωμεν.

Ἀδελφικῇ συνδούμενοι, τῇ στοργῇ καὶ τῇ πίστει, οἱ ἐν Ῥεθύμνῃ μάρτυρες, Γεώργιος Ἀγγελῆς τε, Μανουὴλ καὶ Νικόλαος, σὲ Χριστὲ δυσωποῦσιν, εἰρήνην δοῦναι τῷ κόσμῳ καὶ τοῖς πιστοῖς, τρόπαια νίκης κατὰ βαρβάρων, ἡμῖν πταισμάτων ἄφεσιν, καὶ ψυχῶν σωτηρίαν.

Ἕτερον. ὅμοιον.

Ὁ Μανουὴλ ὁ ἔνδοξος, Ἀγγελῆς ὁ θεόφρων, Νικόλαος Γεώργιος, τοῦ Χριστοῦ τῇ ἰσχύϊ, ἐνήθλησαν καὶ τὴν πλάνην, τῶν ἀπίστων καθεῖλον· καὶ νῦν καθικετεύουσι, τῇ ἁγίᾳ Τριάδι ὑπὲρ ἡμῶν· οὓς ἐν ὕμνοις ἅπαντες εὐφημοῦντες, φαιδρῶς πανηγυρίσωμεν, τὴν σεπτὴν τούτων μνήμην.

Θεοτοκίον.

Θαῦμα φρικτὸν πανάμωμε, ὅτι τὸν πρὸ αἰώνων, ἐκ τοῦ Πατρὸς ἐκλάμψαντα, ὁμοούσιον Λόγον, γεγέννηκας ἀπορρήτως· ὅθεν σε Θεοτόκον, ὁμολογοῦμεν Δέσποινα, ἀληθῶς καὶ κυρίως, ὡς ἀληθῆ, τοῦ Θεοῦ μητέρα, ὃν ἐκδυσώπει, Ἁγνὴ θεομακάριστε, ὑπὲρ γένους ἀνθρώπων.



## Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχ. δ'. καὶ ψάλλομεν τὰ παρόντα προσόμοια

Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσι.

Ὡς γενναῖον ἐν μάρτυσι, συνελθόντες μακάριε, Ἀγγελῆ τὴν μνήμην σου ἑορτάζομεν· καὶ γὰρ βασάνους ὑπέμεινας, καὶ αἷμα ἐξέχεας, δι' ἀγάπην τοῦ Χριστοῦ, παρ' οὗ στέφανον εἴληφας· ὃν ἱκέτευε, ἐκ παντοίων ῥυσθῆναι συμπτωμάτων, τοὺς ἐκ πόθου ἐκτελοῦντας, τὴν πανᾳοίδιμον μνήμην σου.

Μανουήλ τε τοῦ μάρτυρος, ὡς ἀνδρείως ἀθλήσαντος, καὶ ἐχθροῦ τὴν ἔπαρσιν ταπεινώσαντος, τὴν θείαν μνήμην τιμήσωμεν, καὶ πόθῳ βοήσωμεν· νέε μάρτυς τοῦ Χριστοῦ, ὑπὲρ οὗ αἷμα κέχυκας, τούτῳ πρέσβευε, ἐκ κινδύνων ῥυσθῆναι πολυτρόπων, τοὺς τιμῶντάς σου τὴν μνήμην, καὶ σὲ πιστῶς μακαρίζοντας.

Γεωργὸς ὥσπερ ἄριστος, νεομάρτυς Γεώργιε, τὸ μικρὸν γεώργιον τοῦ σοῦ σώματος, σὺ καλλιέργησας ἄριστα, αὐτό τε κατήρδευσας, τῶν αἱμάτων σου ῥοαῖς, καρποφόρον τε ἔδειξας, καὶ πολύγονον, ἰαμάτων πληθύϊ καὶ θαυμάτων, τοῖς προστρέχουσιν ἐκ πόθου, καὶ προσκυνοῦσί σε ἔνδοξε.

Τὸν τῆς νίκης φερώνυμον, τοῦ λαοῦ καὶ ὑπέρμαχον, τὸν στερρὸν Νικόλαον εὐφημήσωμεν, ὅτι τὸν δρόμον τετέλεκε, τὴν πίστιν ἐκήρυξε, καὶ ἐνήθλησε στερρῶς, δι' ἀγάπην τοῦ Κτίσαντος· ᾧ παρίσταται, μετὰ δόξης ἀπαύστως ἱκετεύων, λυτρωθῆναι ἐκ κινδύνων, πάντας τοὺς τοῦτον γεραίροντας.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro

Δόξα. ἦχος πλ. α΄.

Δεῦτε φιλεόρτων τὸ σύστημα, δεῦτε καὶ χορείαν στησώμεθα, τῇ ἐτησίῳ πανηγύρει, τῶν νέων μαρτύρων· αὐτοὶ γὰρ οἱ ἀείμνηστοι, μηδὲν τῶν γηΐνων προτιμήσαντες, μόνον δὲ τὸν σταυρὸν τοῦ Χριστοῦ ὡς θυρεὸν πλουτοῦντες, βασάνων κατεφρόνησαν, καὶ τὸν Χριστὸν γενναίως, Θεὸν ἀληθινὸν τοῖς ἀσεβέσιν ὡμολόγησαν, καὶ δι' αὐτὸν τὸ αἷμα προθύμως ἐξέχεαν· τούτους ἀνευφημοῦντες εἴπωμεν· Ἀθληταὶ τοῦ Χριστοῦ γενναιότατοι, Ἀγγελῆ, Μανουὴλ, Γεώργιε καὶ Νικόλαε, μὴ παύσητε πρεσβεύειν Θεῷ, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Μακαρίζομέν σε Θεοτόκε Παρθένε...

Δοξολογία μεγάλη, καὶ ἀπόλυσις.

---

## Εἰς τὴν λειτουργίαν.

Ὁ Ἀπόστολος. Προκείμενον ἦχος δ΄.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Στίχ. Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ἀδελφοί, ἐνδυναμοῦσθε ἐν Κυρίῳ... Ζήτει Κυριακῇ ΚΖ΄.

Εὐαγγέλιον, Ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην. Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν .. Ζήτει τῇ 9 Μαρτίου τῶν μ΄. μαρτύρων.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον ἔσονται δίκαιοι.

## Μεγαλυνάρια.

Αἱ γενεαὶ πᾶσαι, ὑμᾶς ἀνευφημοῦμεν, τοὺς μάρτυρας Κυρίου.

Ἀξίως εὐφημοῦμεν, μάρτυρας τοὺς θείους, τοὺς ἐκ τῆς Ῥεθύμνης.



Ὑπέστησαν βασάνους, οὗτοι παρὰ τυράννων, ἀρνήσασθαι τὴν πίστιν.

Πατρῴαν τε καὶ θείαν, Χριστοῦ τε τοῦ Κυρίου, τοῦ πάντων βασιλέως.

Οὐδόλως ὑπακούουν, ἀλλὰ στερρῶς πιστεύουν, θρησκείαν τε τὴν θείαν.

Οὐ βάσανα οὐδ' ἄλλα, φόβητρα τυραννίας, τοὺς μάρτυρας φοβοῦσι.

Στερρῶς ὑπὲρ Κυρίου, θάνατον ἐξαιτοῦνται, οἱ μάρτυρες οἱ θεῖοι.

Ἀτίμως θανατόνουν, τοὺς μάρτυρας Κυρίου, τύραννοι οἱ ὁμῶται.

Στεφάνους μαρτυρίου, ἀξίως τε λαμβάνουν, παρὰ Χριστοῦ Κυρίου.

Σὺν τοῖς χοροῖς μαρτύρων, ἀγάλλονται καὶ οὗτοι, οἱ μάρτυρες Κυρίου.

Ἀγάλλεται ἡ Κρήτη, σήμερον ἐν τῇ μνήμῃ, τεσσάρων τε μαρτύρων.

Ἡ Ῥέθυμνα δὲ αὖθις, μαρτύρων μνήμην ἄγει, σήμερον γηθοσύνως.

Οἱ κάτοικοι δὲ ταύτης, εὐσεβῶς δοξάζουν, μάρτυράς τε τοὺς θείους.

Ὦ μάρτυρες Κυρίου, πρεσβεύετε Κυρίῳ, ὑπὲρ τῶν Ῥεθυμνίων.

Αἱ κάραι τῶν μαρτύρων, τὴν Ῥέθυμναν πλουτίζουν, διὰ πολλῶν θαυμάτων.

Οἱ τάφοι τῶν μαρτύρων, ἐν κώμῃ Περβολίων, ὑπάρχουσι καὶ κεῖνται.

Τὰ τέκνα τῶν μαρτύρων, ἀθροίζοντ' ἐν Ῥεθύμνῃ, δοξάζοντες Κυρίῳ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro

Μετὰ τῶν Ῥεθυμνίων, τὴν ἑορτὴν ποιοῦσι, μηνὶ τῷ Ὀκτωβρίῳ

Πρεσβεύετε Κυρίῳ, τετράριθμοι μαρτύρων, ὑπὲρ τῶν εὐφημούντων.

Δόξα.

Τρισήλιε Θεέ μου, πυρὸς ἐκ τῆς γεέννης, ῥῦσαι ἡμᾶς τοὺς δούλους.

*Καὶ νῦν.* Θεοτοκίον

Ἀμόλυντε Παρθένε, ὑπὲρ ἡμῶν μὴ παύσῃς, πρεσβεύειν τῷ Υἱῷ σου.

Ἕτερον Μεγαλυνάριον

Τοὺς γενναίους μάρτυρας τοῦ Χριστοῦ, τέσσαρας ἐν Κρήτῃ ὑπομείναντας καρτερῶς, τυράννων βασάνους καὶ χύσιν αἱμάτων, ἐν ὕμνοις ἐγκωμίων πιστοὶ τιμήσωμεν.

---



# ΑΚΟΛΟΥΘΙΑ
## ΨΑΛΛΟΜΕΝΗ ΤΗ ΚΥΡΙΑΚΗ
## ΤΩΝ ΑΓΙΩΝ ΠΑΝΤΩΝ(1)

---

Ἑσπέρας, ἐν τῷ μεγάλῳ ἑσπερινῷ, στιχολογοῦμεν τὸ «Μακάριος ἀνήρ.» Εἰς δὲ τὸ «Κύριε ἐκέκραξα», ἱστῶμεν στίχ. ί. καὶ ψάλλομεν Ἀναστάσιμα δ'. τῆς Θεοτόκου γ'. καὶ τῶν Ἁγίων γ'.

Τῆς Θεοτόκου. ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Ὁ γάμος ηὐτρέπισται, τοῦ οὐρανίου νυμφίου, οἱ κήρυκες κράζουσι, τί βραδύνεις μέλαινα, ἑκουσίως ψυχή; ῥυπαρὰ πάντα σου, ἀληθῶς ὑπάρχει, ἀσελγείαις τὰ ἱμάτια, καὶ πῶς ταλαίπωρε, μέλλεις εἰσελθεῖν, δεῦρο πρόσπεσον, πρὸ τέλους ἐκ καρδίας σου, τῇ Ἀειπαρθένῳ κραυγάζουσα· ὑσσώπῳ πρεσβείαις, ῥαντίσασα καθάρισον ἁγνή, καὶ τοῦ νυμφῶνος ἀξίωσον, ὅπως μεγαλύνω σε.

Νοὸς καθαρότητι, ὁ Ἡσαΐας Παρθένε, πόρρωθεν προέφησε, ποιητὴν τῆς Κτίσεως, τεξομένην σε, ὦ σεμνὴ Πάναγνε, σὺ γὰρ ὤφθης μόνη, ἐξ αἰῶνος παναμώμητος· διό σου δέομαι, τὴν μεμολυσμένην καρδίαν μου, καθάρισον, καὶ λάμψεως, θείας κοινωνόν με ἀνάδειξον, Κόρη τοῦ Υἱοῦ σου, καὶ στάσεως αὐτοῦ τῆς

(1) Ἡ Ἀκολουθία αὕτη ἐτέθη ἐνταῦθα ἵνα ψάλλεται καὶ ἐν πάσῃ ἑορτῇ, καθ' ἣν ἤθελεν εἶσθαι ἔλλειψις τῶν ἁρμοδίων βιβλίων. Διὰ τὸν αὐτὸν δὲ λόγον προσετέθησαν καὶ τὰ κατόπιν ταύτης Εὐαγγέλια καὶ οἱ Ἀπόστολοι.

www.tezaurliturgic.ro

δεξιᾶς, ὅταν καθίσῃ, ὡς γέγραπται, κρῖναι κόσμον ἅπαντα.

Ἡ πόρνη κενώσασα, μύρου ἀλάβαστρον πάλαι, τοῖς ποσί σου Δέσποτα, πάντων ἠλευθέρωται, ὧν περ ἔπραξεν· ὁ λῃστὴς μόνον σου, μνημονεύσας ὤφθη, καὶ εὐθέως εἰς Παράδεισον, αὐτὸν εἰσήγαγες· ἐγὼ δὲ τί πράξω ὁ ἄθλιος; οὐ μῦρον οὐ κατάνυξιν, ἔχω, δωρεάν με ἐλέησον. Οἴκτειρόν με Λόγε, ἡ ἄχραντός σου μήτηρ δυσωπεῖ, ἣν ἐδωρήσω τῷ κόσμῳ σου, μέγα καταφύγιον.

Τῶν Ἁγίων. Ὁ αὐτός.

Οἱ πνευματορρήτορες, οἱ μαθηταὶ τοῦ Σωτῆρος, τοῦ Πνεύματος ὄργανα, πίστει χρηματίσαντες, διεσπάρησαν, εἰς τὰ γῆς πέρατα, τὸ σεπτὸν κήρυγμα, ὀρθοδόξως κατασπείραντες· ἐξ ὧν ἐβλάστησαν, θείᾳ γεωργίᾳ καὶ χάριτι, μαρτύρων τὰ στρατεύματα, πάθος τὸ σεπτὸν εἰκονίζοντες, διὰ πολυτρόπων, στρεβλώσεων μαστίγων καὶ πυρός· ἐν παρρησίᾳ πρεσβεύουσιν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Θηρσὶ προσπαλαίοντες, τυμπανιζόμενοι ξίφει, ὄνυξι ξεόμενοι, χεῖρας ἀφαιρούμενοι, καὶ στρεβλούμενοι, οἱ στερροὶ μάρτυρες, καὶ πυρὶ ἐνύλῳ, ἀνενδότως φλογιζόμενοι, καὶ ἐκκεντούμενοι, καὶ τὰς ἁρμονίας τεμνόμενοι, ὑπέφερον στερρρότατα, λῆξιν προορῶντες τὴν μέλλουσαν, καὶ τοὺς ἀκηράτους, στεφάνους καὶ τὴν δόξαν τοῦ Χριστοῦ· ᾧ παρρησίᾳ πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἐν πᾶσι τοῖς πέρασι, τοὺς ἐναθλήσαντας πίστει, Ἀποστόλους Μάρτυρας, Ἱερεῖς θεόφρονας, σεμνὰ γύναια· ἱερὸν ἄθροισμα, ἱεροῖς ᾄσμασι, κατὰ χρέος εὐφημήσωμεν, ὅτι συνήφθησαν, τοῖς ἐπουρανίοις οἱ γήϊνοι· καὶ πάθει τὴν ἀπάθειαν, χάριτι Χριστοῦ ἐκομίσαντο· καὶ νῦν ὡς ἀστέρες, στερροὶ περιαυγάζοντες ἡμᾶς, ἐν παρρησίᾳ πρεσβεύουσιν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.



Δόξα ἦχος πλ. β'.

Μαρτύρων θεῖος χορός, τῆς Ἐκκλησίας ἡ βάσις, τοῦ Εὐαγγελίου ἡ τελείωσις· ὑμεῖς ἔργῳ τοῦ Σωτῆρος τὰ ῥητὰ ἐπληρώσατε· ἐν ὑμῖν γὰρ αἱ πύλαι τοῦ Ἅδου, κατὰ τῆς Ἐκκλησίας ἀνεῳχθεῖσαι, ἐκλείσθησαν. Ἡ τοῦ αἵματος ὑμῶν χύσις, τὰς εἰδωλικὰς σπονδὰς ἐξήρανεν· ἡ σφαγὴ ὑμῶν ἀπέτεκε, τῶν πιστῶν τὸ πλήρωμα· τοὺς Ἀσωμάτους ἐξεπλήξατε, τῷ Θεῷ στεφανηφόροι παρίστασθε· πρὸς ὃν ἀπαύστως πρεσβεύετε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν Θεοτοκίον.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.

Καὶ τὰ Ἀναγνώσματα.

*Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα.*

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν· τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ἡμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ ἀκουσάτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητέ μοι καὶ συνῆτε, ὅτι ἐγώ εἰμι· ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται· ἐγώ εἰμι ὁ Θεὸς καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων· ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός· ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.



ΠΑΝΤΕΛΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΚΤΗΤΟΡΗΣ ΠΑΠ...

www.tezaurliturgic.ro

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ· διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν· λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον, λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας, πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρεις ῥιφήσονται, χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτοὺς καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς, ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.



Εἰς τὴν Λιτὴν ἦχος ά.

Τῶν νοερῶν δυνάμεων Ἀρχιστράτηγοι, οἱ παρεστῶτες ἀπαύστως τῷ δεσποτικῷ θρόνῳ, πρεσβεύσατε πρὸς Κύριον, εἰρήνην τῷ κόσμῳ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ὁ αὐτός.

Κῆρυξ γέγονας, τοῦ ἀμνοῦ τοῦ Θεοῦ καὶ Λόγου, Ἰωάννη προφῆτα καὶ πρόδρομε, προφητεύων τὰ μέλλοντα καὶ προλέγων τοῖς πέρασιν. Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τοῦ κόσμου τὴν ἁμαρτίαν, καὶ παρέχων τοῖς πᾶσι τὸ μέγα ἔλεος.

Ἦχος πλ. β'.

Δεῦτε τῶν ὀρθοδόξων τὸ σύστημα, συναθροισθέντες σήμερον, ἐν τῷ πανσέπτῳ ναῷ τῶν θεηγόρων προφητῶν, ψαλμικῶς ᾄσωμεν ἐναρμόνιον μέλος, τῷ τούτους δοξάσαντι Χριστῷ τῷ Θεῷ ἡμῶν, καὶ ἐν χαρᾷ καὶ ἀγαλλιάσει ἀναβοήσωμεν. Χαίρετε ἀντιλήπτορες θερμοὶ καὶ προστάται, καὶ ἰατροὶ τῶν ψυχῶν καὶ τῶν σωμάτων, του φιλοχρίστου λαοῦ· ἀπὸ πάσης προσβολῆς ἐναντίας καὶ περιστάσεως, καὶ παντοίων κινδύνων, λυτρώσασθε τοὺς πιστῶς ἐκτελοῦντας, τὴν πανέορτον μνήμην Ὑμῶν.

Ὁ αὐτός.

Τοὺς τῆς εὐσεβείας ἀληθεῖς κήρυκας, καὶ τῆς Ἐκκλησίας ὑπερφυεῖς ἀστέρας, ὕμνων ἐγκωμίοις τιμήσωμεν, τοὺς ἀποστόλους τοῦ Χριστοῦ, καὶ κήρυκας τῆς πίστεως· οὗτοι γὰρ τὸν τῆς ἀληθείας λόγον σπείραντες,

www.tezaurliturgic.ro

ἐν ταῖς καρδίαις τῶν πιστῶν, πᾶσι καρποφορίαν διένειμαν, καὶ πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β'.

Τοὺς ἀναφθέντας ἄνθρακας, ἐκ τοῦ ἀστέκτου πυρὸς, οἱ δι' αὐτῶν φωτισθέντες, πιστῶς ἀνευφημήσωμεν· οὗτοι γὰρ τῇ πρὸς αὐτὸ ἑνώσει ἐκπυρωθέντες, φωστῆρες τοῦ κόσμου ἐγένοντο· ζωτικὴ τοῖς πιστοῖς χρηματίζοντες δύναμις, Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα ἅγιον, εὐσεβῶς ἀνακηρύττοντες· καὶ πρεσβεύουσιν ἀεὶ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ'.

Γενναῖοι μάρτυρες ἀληθείας, ὑμᾶς οὐ βία τυραννικὴ, οὐ μελῶν ἐκκοπαὶ, οὐδὲ θανάτου ἀπειλαί, τῆς πρὸς τὸ θεῖον ἀγάπης χωρίσαι δεδύνηνται· διὸ παρρησίαν ἔχοντες πρὸς Χριστὸν τὸν ἐπὶ πάντων Θεὸν, ταύτην ἀμοιβὴν τῶν ἀλγεινῶν βασάνων αἰτήσασθε, παρὰ Χριστοῦ λαβεῖν εὐχαῖς ὑμῶν καὶ τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ'.

Τὸν ἰσάγγελον βίον πολιτευσάμενοι, πόνοις ἀσκητικοῖς πατέρες Ὅσιοι, καὶ ἐγκρατείᾳ τὸ σῶμα δουλαγωγήσαντες, καθυπετάξατε τῷ πνεύματι· ἐργάται γενόμενοι τῶν ἐντολῶν τοῦ Κυρίου, τὸ ἀρχέτυπον κάλλος τῆς εἰκόνος ἐφυλάξατε, καὶ ἀθλητικοὺς ἀγῶνας, ἐκ τῶν ἀσκητικῶν ἱδρώτων διηνύσατε· καὶ διπλοῖς στεφάνοις κατακοσμηθέντες, ἐκτενῶς πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἀπόστιχα. Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσι.

Τοὺς Ἁγίους ὁ Κύριος, τοὺς ἐν γῇ ἐθαυμάστωσε. τὰ αὐτοῦ γὰρ στίγματα, καὶ παθήματα, ἐν τῇ σαρκὶ ἀνεδέξαντο ἐν τούτοις κοσμούμενοι, καὶ ταῖς θείαις καλλοναῖς, προφανῶς ἀναθέμενοι· οὓς ὑμνήσωμεν, ὡς ἀμάραντα ἄνθη, ὡς ἀστέρας, ἀπλανεῖς τῆς Ἐκκλησίας, ὡς ἐθελόθυτα θύματα.



Στίχ. Ἐκέκραξαν οἱ δίκαιοι.

Σὺν προφήταις ἀπόστολοι, σὺν Ὁσίοις διδάσκαλοι, σὺν Ἱερομάρτυσι, πάντες δίκαιοι, καὶ γυναικῶν αἱ ἀθλήσασαι, καὶ πόθῳ ἀσκήσασαι, τῶν Ἁγίων ἡ πληθὺς, καὶ δικαίων τὰ τάγματα, εὐφημείσθωσαν, ἱεραῖς μελῳδίαις ὡς τῆς ἄνω, βασιλείας κληρονόμοι, ὡς παραδείσου οἰκήτορες.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Οἱ τὴν γῆν οὐρανώσαντες, ἀρετῶν ἐν φαιδρότητι, οἱ Χριστοῦ τὸν θάνατον μιμησάμενοι, ἀθανασίας τὴν πρόξενον, ὁδὸν οἱ βαδισαντες, οἱ τὰ πάθη τῶν βροτῶν, χειρουργίᾳ τῆς χάριτος, ἐκκαθάραντες, οἱ ἐν ὅλῳ τῷ κόσμῳ ὁμοψύχως, ἐναθλήσαντες γενναίως, ἀνευφημείσθωσαν μάρτυρες.

Δόξα. Ἦχος πλ. β'.

Δεῦτε πιστοὶ, σήμερον χορείαν ἐπικροτήσαντες, εὐσεβῶς πανηγυρίσωμεν, καὶ τῶν Ἁγίων Πάντων τὴν ἔνδοξον καὶ σεβάσμιον μνήμην, ἐνδόξως τιμήσωμεν λέγοντες. Χαίρετε Ἀπόστολοι ἔνδοξοι, Προφῆται, Μάρτυρες καὶ Ἱεράρχαι. Χαίρετε Ὁσίων ὁ δῆμος καὶ τῶν Δικαίων. Χαίρετε τιμίων γυναικῶν ὁ χορός· καὶ Χριστὸν ὑπὲρ τοῦ κόσμου πρεσβεύσατε, νίκας τοῖς εὐσεβέσι κατὰ βαρβάρων δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Ἀπολυτίκιον ἦχος ά. Τοῦ λίθου σφραγισθέντος.

Βλαστοὺς Εὐαγγελίου καὶ καρποὺς ἀμαράντους, χοροὺς Ἁγίων Πάντων εὐφημήσωμεν πάντες· ἐν ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, μιμούμενοι αὐτῶν τὰς ἀρετὰς, καὶ ἀγῶνας τοὺς γενναίους, ἀπὸ ψυχῆς συμφώνως ἀνακράζοντες. Δόξα τῷ στεφανώσαντι ὑμᾶς· δόξα τῷ ἁγιάσαντι· δόξα τῷ ἐν γῇ καὶ οὐρανῷ ὑμᾶς δοξάσαντι.

www.tezaurliturgic.ro

Δόξα ἦχος δ'.

Τῶν ἐν ὅλῳ τῷ κόσμῳ μαρτύρων σου, ὡς πορφύραν καὶ βύσσον τὰ αἵματα, ἡ Ἐκκλησία σου στολισαμένη, δι' αὐτῶν βοᾷ σοι Χριστὲ ὁ Θεός· τῷ λαῷ σου τοὺς οἰκτιρμούς σου κατάπεμψον, εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον. Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον.

## Εἰς τὸν Ὄρθρον.

Μετὰ τὴν ά. στιχ. Καθίσματα.

Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Ἐξεβλήθη ὁ Ἀδάμ, τοῦ Παραδείσου τῆς τρυφῆς, διὰ βρώσεως πικρᾶς, ἐν ἀκρασίᾳ ἐντολήν, μὴ φυλάξας τὴν τοῦ Δεσπότου καὶ κατεκρίθη, ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς ἐλήφθη αὐτός· ἱδρῶτι δὲ πολλῷ, ἐσθίειν ἄρτον αὐτοῦ· διὸ ἡμεῖς ποθήσωμεν ἐγκράτειαν, ἵνα μὴ ἔξω θρηνήσωμεν, τοῦ παραδείσου· ὥσπερ ἐκεῖνος, ἀλλ' εἰς αὐτὸν ἐλευσώμεθα.

Δόξα. Ὅμοιον.

Ἐν λειμῶνι τῶν Γραφῶν, καθάπερ μέλισσαι σοφοί, προσιπτάμενοι ὑμεῖς, περιεδρέψασθε καλῶς, καὶ τῶν ἀνθέων τὰ ἄριστα καὶ τὸ μέλι, πᾶσι τοῖς πιστοῖς, τῶν διδαγμάτων ὑμῶν, προτίθεσθε ὁμοῦ, εἰς πανδαισίαν αὐτῶν· καὶ διὰ τοῦτο ἅπας γλυκαινόμενος, μετ' εὐφροσύνης κραυγάζει· πάρεστε πάλιν, καὶ μετὰ πότμον, τοῖς ὑμᾶς εὐφημοῦσι μακάριοι.

Καὶ νῦν. Θεοτοκίον.

Τρικυμίαις τῶν παθῶν, ὁ ἀσυνείδητος ἐγώ, χειμαζόμενος Ἁγνή, ἐπικαλοῦμαί σε θερμῶς· μὴ μὲ παρίδῃς τὸν δείλαιον ἀπολέσθαι, ἄβυσσον ἐλέους ἡ τέξασα· πλὴν σοῦ γὰρ ἄλλην ἐλπίδα οὐ κέκτημαι· μὴ οὖν ἐχθροῖς ἐπίχαρμα καὶ γέλως, ὁ πεποιθὼς σοι ὀφθήσομαι· καὶ γὰρ ἰσχύεις, ὅσα καὶ βούλει, ὡς μήτηρ οὖσα τοῦ πάντων Θεοῦ.



Μετὰ τὴν β'. στιχολ. Ἦχος πλ. δ'. Αὐλῶν ποιμενικῶν.

Ἀγγέλων, προφητῶν, ἀποστόλων, μαρτύρων, κλεινῶν ἱεραρχῶν καὶ Ὁσίων ἁπάντων, Σωτὴρ παρακλήσεσι τὰ σὰ ἐλέη πᾶσι κατάπεμψον, καὶ εἰρήνην τῷ κόσμῳ, ταῖς Ἐκκλησίαις γαλήνην δώρησαι· ὁ ἑκουσίως δι' ἡμᾶς, παθὼν καὶ ταφεὶς καὶ ἀναστάς, Κύριε δόξα σοι.

Δόξα. Ὁ αὐτός. Τὸ προσταχθέν.

Ὡς εἰς λειμῶνα ἀρετῶν ἀνθηφοροῦντα, τῶν θεοφόρων ἀσκητῶν περιπατοῦντες, τῆς ὀσμῆς πληρούμεθα τῆς ἡδυπνόου· τοῖς ἄθλοις γὰρ στομωθέντες τῶν πειρασμῶν, τὸ σῶμα τῇ ἐγκρατείᾳ δουλοπρεπῶς, καθυπέταξαν πνεύματι, ἀγγελικὴν ἐπὶ γῆς, πολιτείαν βιώσαντες· δόξης οὖν ἠξιώθησαν.

Καὶ νῦν. Θεοτοκίον.

Τῶν Ἀσωμάτων σου Χριστὲ καὶ τοῦ προδρόμου, τῶν μαθητῶν, τῶν προφητῶν καὶ τῶν μαρτύρων, τῶν ἁγίων ἁπάντων τε καὶ τῶν Ὁσίων, πρεσβείαις τῆς ἀπειράνδρου καὶ ἀγαθῆς, Μητρός σου ἐκδυσωπούμενος δὸς ἡμῖν, τῷ φωτί σου πορεύεσθαι καὶ καταξίωσον ἡμᾶς, τυχεῖν τῆς βασιλείας σου, διὰ σπλάγχνα ἐλέους σου.

Μετὰ τὸν πολυέλεον.

Ἦχος πλ. δ'. Τὴν σοφίαν καὶ Λόγον.

Προπατόρων πατέρων πατριαρχῶν, Ἀποστόλων, μαρτύρων, Ἱεραρχῶν, προφητῶν καὶ Ὁσίων σου, ἀσκητῶν καὶ δικαίων τε, καὶ παντὸς ὀνόματος ἐγγεγραμμένου ἐν βίβλῳ ζωῆς, τὴν ἁγίαν μνήμην τελοῦντες Χριστὲ ὁ Θεός· πάντας συγκινοῦμεν, εἰς πρεσβείαν δεόμενοι· εἰρήνευσον τὸν κόσμόν σου, δι' αὐτῶν ὡς φιλάνθρωπος, ἵνα πάντες βοῶμέν σοι· ὁ Θεὸς ὁ ἐνδοξαζόμενος ἐν βουλῇ Ἁγίων σου, σὺ ὑπάρχεις ἀληθῶς, ὁ δοξάσας ἀξίως τὴν μνήμην αὐτῶν.

www.tezaurliturgic.ro

Δόξα. Ὅμοιον.

Τοὺς δεσμοὺς διαρρήξαντες τῶν παθῶν, ἐκολλήθητε πόθῳ τῶν ἀγαθῶν, δόξαν ὑπερκόσμιον ἐν Χριστῷ ἐνεδύσασθε, ἐξ οἰκείων κόπων εὑρόντες ἀνάπαυσιν, ἐγκρατείας πόνοις, τυχόντες τῆς ἄνω ζωῆς. Ὅθεν ἐπαξίως, συνευφραίνεσθε ἅμα, ταῖς ἄνω δυνάμεσι γηθοσύνως ἐν ᾄσμασι, τῷ Θεῷ παριστάμενοι· θεοφόροι πατέρες ἡμῶν, τῶν πταισμάτων ἄφεσιν αἰτήσασθε, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην ὑμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε θρόνε πυρίμορφε τοῦ Θεοῦ, χαῖρε Κόρη καθέδρα βασιλική, κλίνη πορφυρόστρωτε, χρυσοπόρφυρε θάλαμε, χλαμὺς ἁλουργόχροε, τιμαλφέστατον τέμενος, ἀστραπηφόρον ἅρμα, λυχνία πολύφωτε. Χαῖρε Θεοτόκε, δωδεκάτειχε πόλις, καὶ πύλη χρυσήλατε, καὶ παστὰς ἀγλαόμορφε, ἀγλαόχρυσε τράπεζα, θεοκόσμητον σκήνωμα· χαῖρε ἔνδοξε νύμφη ἡλιοστάλακτε· χαῖρε μόνη ψυχῆς ἡμῶν ἡ εὐπρέπεια.

Οἱ ἀναβαθμοί. Τὸ προκείμενον.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν.

«Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην: Κριτής τις ἦν ἔν τινι πόλει τὸν Θεὸν μὴ φοβούμενος καὶ ἄνθρωπον μὴ ἐντρεπόμενος· χήρα δέ τις ἦν ἐν τῇ πόλει ἐκείνῃ καὶ ἤρχετο πρὸς αὐτὸν λέγουσα· ἐκδίκησόν με ἀπὸ τοῦ ἀντιδίκου μου. Καὶ οὐκ ἠθέλησεν ἐπὶ χρόνον. Μετὰ δὲ ταῦτα εἶπεν ἐν ἑαυτῷ· εἰ καὶ τὸν Θεὸν οὐ φοβοῦμαι, καὶ ἄνθρωπον οὐκ ἐντρέπομαι, διά γε τὸ παρέχειν μοι κόπον τὴν χήραν ταύτην, ἐκδικήσω αὐτήν, ἵνα μὴ εἰς τέλος ἐρχομένη ὑπωπιάζῃ με. Εἶπε δὲ ὁ Κύριος. Ἀκούσατε τί ὁ κριτὴς τῆς ἀδικίας λέγει. Ὁ δὲ Θεὸς οὐ μὴ ποιήσει τὴν ἐκδίκησιν τῶν ἐκλεκτῶν αὐτοῦ, τῶν βοώντων πρὸς αὐτὸν ἡμέρας καὶ νυκτός, καὶ μακροθυμῶν ἐπ' αὐτοῖς; Λέγω ὑμῖν ὅτι ποιήσει τὴν ἐκδίκησιν αὐτῶν ἐν τάχει.



Μετὰ τὸν Ν'. Δόξα. Ταῖς πάντων τῶν Ἁγίων πρεσβείαις...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Στίχ. Ἐλέησόν με ὁ Θεός. Ἦχος πλ. β'.

Ἄνθρωποι τοῦ Θεοῦ καὶ πιστοὶ θεράποντες, λειτουργοὶ Κυρίου, ἄνδρες ἐπιθυμιῶν, σκεύη ἐκλογῆς, στῦλοι καὶ στηρίγματα τῆς Ἐκκλησίας, βασιλείας κληρονόμοι· μὴ παρασιωπᾶτε, τοῦ βοᾶν ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Ὁ Ἀναστάσιμος Κανὼν καὶ τῶν Ἁγίων Πάντων.

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.

Ἄναρχε Λόγε ἱεραῖς δεήσεσι, τῶν Χερουβὶμ Σεραφίμ, ἐξουσιῶν θρόνων, καὶ θείων δυνάμεων, Ἀγγέλων, Ἀρχαγγέλων τε Ἀρχῶν Κυριοτήτων, τὰ σὰ ἐλέη τὰ πλούσια, δώρησαι ἡμῖν ὡς φιλάνθρωπος.

Βοήθησόν μοι τοῦ Κυρίου πρόδρομε, Χριστοῦ δεόμενος, τῶν προφητῶν δῆμος, Ἀποστόλων σύλλογος, μαρτύρων τὰ στρατεύματα, τὸν τῶν ὅλων Δεσπότην, ἐκδυσωπεῖτε σωθῆναί με, πταίσμασι πολλοῖς συνεχόμενον.

Γυναῖκες θεῖαι αἱ καλῶς ἀθλήσασαι καὶ ἐξασκήσασαι, Ἱεραρχῶν δῆμος, Ὅσιοι καὶ δίκαιοι, σεπτοὶ ἱερομάρτυρες, ἀγαθῶν αἰωνίων ἐπιτυχεῖν ἱκετεύσατε, πίστει τοὺς ὑμᾶς μακαρίζοντας.

Θεοτοκίον.

Δεδουλωμένον ἡδοναῖς τοῦ σώματος, τὸν νοῦν μου Δέσποινα, ὡς ἀγαθὴ μόνη, ὅλον ἐλευθέρωσον, καὶ δοῦλον γνησιώτατον, ἀγαθῶν ἐργασίαις, τοῦ σοῦ Υἱοῦ με ἀνάδειξον, ὅπως κατὰ χρέος δοξάζω σε.

Ὠδὴ γ'. Ὁ στερεώσας κατ' ἀρχάς.

Ἐκ τῶν σκανδάλων τοῦ ἐχθροῦ, ὦ Σεραφεὶμ ῥύσασθέ με, ἐξουσίαι Χερουβὶμ ἱκετεύω, Κυριότητες Ἀρ-

www.tezaurliturgic.ro

χαί, καὶ θρόνοι καὶ Ἀρχάγγελοι, σὺν τοῖς Ἀγγέλοις πᾶσι, τὸν λυτρωτὴν ἱκετεύσατε.

Ζωῆς ἀρίστης με τυχεῖν, πρόδρομε ἐκδυσώπει, σὺν προφήταις καὶ μαρτύρων χορείαις, Ἀποστόλων ἱερῶν, ἱεραρχῶν Ὁσίων τε, καὶ Ἱερομαρτύρων, τελειωθέντων δι' αἵματος.

Ἧς ἠξιώθητε τρυφῆς, καὶ δόξης ἀδιαδόχου, αἱ ἀθλήσασαι γυναῖκες ἀνδρείως, καὶ ἀσκήσασαι φαιδρῶς, καὶ τὸν ἐχθρὸν νικήσασαι, ταύτης ἡμᾶς γενέσθαι ἐν μετοχῇ ἱκετεύσατε.

Θεοτοκίον.

Θεοχαρίτωτε Ἁγνή, μετὰ τῶν ἄνω ταγμάτων, μετὰ πάντων τῶν σοφῶν Ἀποστόλων, καὶ μαρτύρων ἱερῶν καὶ προφητῶν ἱκέτευε, ὅπως τελείαν λύσιν ἁμαρτημάτων ληψώμεθα.

Καθίσματα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Τὴν ἔρημον πολίσαντες ἐν εὐσεβείᾳ Θεοῦ, τὰ πάθη ἐρημώσαντες ἐν ἐγκρατείᾳ σαφῶς, ὡς φοίνιξ ἠνθήσατε, βότρυας ψυχοτρόφους ἀρετῶν θεοφόροι, φέροντες τοῖς ἀνθρώποις γλυκασμὸν ὑπὲρ μέλι· διὸ καὶ μεγαλύνομεν πίστει τὴν μνήμην ὑμῶν.

Δόξα. Ὅμοιον.

Ὡς πάροικοι δεικνύμενοι καὶ παρεπίδημοι, καλύβας πηξάμενοι ἐν ταῖς ἐρήμοις σαφῶς, ἠσκήσατε Ὅσιοι, γύμνωσιν κοσμηθέντες ἀρετῶν τῇ ἐνδύσει, σύμμορφοι γεγονότες, τῶν Χριστοῦ παθημάτων· διὸ καὶ μεγαλύνομεν πίστει τὴν μνήμην ὑμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Πιστῶν ἱλαστήριον, σὺ ἀνεδείχθης Ἁγνή, κοινὸν καταφύγιον, καὶ μεσιτεία θερμή, παρθένε θεόνυμφε· ὅθεν καὶ τῶν ἐν πίστει πρὸς Θεὸν ἐκβοώντων, φάνηθι νῦν μεσίτης καὶ σωτήριος πύλη· πρὸς πλάτος τοῦ παραδείσου τούτους εἰσάγουσα.



Ὠδὴ δ'. Σύ μου ἰσχὺς Κύριε.

Ἴδε Χριστὲ καὶ μὴ παρίδῃς με δέομαι, ἁμαρτίαις πάσαις συνεχόμενον, ἀλλ' ἱκεσίαις τῶν ἱερῶν πάντων σοῦ Ἀγγέλων, μαρτύρων καὶ Ἀποστόλων τοῦ οἰκτείρησόν με σῶσον καὶ τῆς σῆς βασιλείας κ[illegible]νόμον με δεῖξον ὡς εὔσπλαγχνος.

Κῆρυξ Χριστοῦ πρόδρομε, τὸν ἐσβεσμένον μου, τῆς καρδίας λύχνον νῦν ἐπάναψον, λύχνος ἡλίου τοῦ νοητοῦ, ἤδη χρηματίσας, καὶ σὺν προφήταις ἱκέτευε, καὶ πᾶσι τοῖς Ἁγίοις ἐν θερμῇ μετανοίᾳ, τὴν ζωὴν μετελθεῖν με τὴν πρόσκαιρον.

Λάμψον μοι φῶς τῆς μετανοίας φιλάνθρωπε, μεσιτείαις τῶν ἐν ὁσιότητι, θεραπευσάντων σε Ἰησοῦ, ἱερῶν γυναίων ἱεραρχῶν καὶ μαρτύρων σου, κηρύκων Ἀποστόλων καὶ ἱερομαρτύρων, καὶ τυχεῖν σωτηρίας ἀξίωσον.

Θεοτοκίον.

Μόνη Θεὸν σωματωθέντα κυήσασα, Παναγία, τοῦτον καθικέτευε, ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ, πάντας ἡμᾶς σῶσαι, καὶ τῆς κολάσεως ῥύσασθαι, ζωῆς αἰωνιζούσης καὶ φωτὸς ἀξιῶσαι, καὶ σὺν τούτοις καλῶς θεραπεύσασι.

Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω.

Νοεραί σε δυνάμεις, νῦν καθικετεύουσιν εὔσπλαγχνε Κύριε, ἐξουσίαι, θρόνοι, Σεραφείμ, Κυριότητες Ἄγγελοι, σὺν τοῖς Ἀρχαγγέλοις καὶ ταῖς Ἀρχαῖς· ἵλεως ἔσο τῷ λαῷ σου, καὶ σῶσον ὡς εὔσπλαγχνος.

Ξενοτρόπως βιώσας, πρόδρομε μακάριε, ξένον με ποίησον, πάσης τιμωρίας Ἰησοῦν δυσωπῶν τὸν φιλάνθρωπον, σὺν προφήταις θείοις, καὶ Ἀποστόλοις, Ἱεράρχαις, καὶ μαρτύρων ἁγίοις στρατεύμασι.

Ὁ τοὺς σοὺς Ἱεράρχας, καὶ Ἱερομάρτυρας λαμπρύνας Κύριε, καὶ σεπτῶν γυναίων, ἀθλησάντων τὸν θεῖον

www.tezaurliturgic.ro

κατάλογον, μεγαλύνας τούτων, ταῖς προσευχαῖς οἰκτείρησόν με, ὁ εἰδώς μου τὰ ἄμετρα πταίσματα.

Θεοτοκίον.

Παναγία παρθένε, Λόγον τὸν πανάγιον ἀποκυήσασα, τῆς ψυχῆς μου πᾶσαν ἀθυμίαν καὶ λύπην ἀπέλασον, καὶ εὐόδωσόν μου, τὸν λογισμὸν τὰ θεῖα πράττειν, ἵνα πίστει καὶ πόθῳ δοξάζω σε.

Ὠδὴ ς'. Ἱλάσθητί μοι Σωτήρ.

Ῥυσθῆναί με τῆς ἐκεῖ, ἀποκειμένης κολάσεως, δεήθητε Χερουβὶμ θρόνοι, Κυριότητες, Ἄγγελοι, Ἀρχάγγελοι, Ἀρχαὶ καὶ δυνάμεις, τὸν Δεσπότην πάσης κτίσεως.

Σὺν ἀποστόλων χοροῖς, καὶ τῶν μαρτύρων στρατεύμασι, πρόδρομε κῆρυξ Χριστοῦ, εὑρεῖν ἡμᾶς ἔλεος ἐν ὥρᾳ τῆς κρίσεως, Ἰησοῦν δυσώπει, τὸν φιλάνθρωπον Θεὸν ἡμῶν.

Τῶν ἀθλησάντων στερρῶς, Γυναίων Θέκλα ἐξάρχουσα, ἱκέτευε σὺν αὐταῖς τὸν εὔσπλαγχνον Κύριον, παθῶν ἀμαυρώσεως, καὶ πειρατηρίων πολυτρόπων λυτρωθῆναι ἡμᾶς.

Θεοτοκίον.

Ὑμνοῦμέν σε οἱ πιστοί, θεοχαρίτωτε Δέσποινα· τὸν ὑπερύμνητον γὰρ Θεὸν ἀπεκύησας· ὃν δυσώπει ἄχραντε, πόλιν καὶ λαόν σου, ἐν εἰρήνῃ διασώζεσθαι.

Κοντάκιον. Ἦχος δ'. Ὁ ὑψωθείς.

Ἡ μνήμη αὕτη τῶν Ἁγίων ἁπάντων, καθάπερ ἄλλος οὐρανὸς ἀπαστράπτει, ὡς Ἥλιον μὲν λάμποντα ἐν μέσῳ τὸν Χριστὸν, ἔχων, ὡς Σελήνην δέ, τὴν ἁγίαν Παρθένον, καὶ ὡς ἄστρα φαίνοντα, κύκλῳ πάντας Ἁγίους. Διὸ οἱ ἑορτάζοντες αὐτήν, νοῦν καὶ καρδίαν, ἀεὶ ἐλλαμπόμεθα.



Ἕτερον ἦχος πλ. δ'.

Ὡς ἀπαρχὰς τῆς φύσεως, τῷ φυτουργῷ τῆς κτίσεως, ἡ οἰκουμένη προσφέρει σοι Κύριε τοὺς θεοφόρους μάρτυρας· ταῖς αὐτῶν ἱκεσίαις ἐν εἰρήνῃ βαθείᾳ τὴν Ἐκκλησίαν σου, διὰ τῆς Θεοτόκου, συντήρησον πολυέλεε.

Ὁ οἶκος.

Οἱ ἐν πάσῃ τῇ γῇ μαρτυρήσαντες, καὶ ἐν τοῖς οὐρανοῖς μετοικήσαντες, οἱ τὰ πάθη Χριστοῦ μιμησάμενοι καὶ τὰ πάθη ἡμῶν ἀφαιρούμενοι, ἐνταῦθα σήμερον ἀθροίζονται πρωτοτόκων δεικνύοντες Ἐκκλησίαν, ὡς τῆς ἄνω τὸν τύπον ἐπέχουσαν καὶ Χριστῷ ἐκβοῶσαν· Θεός μου εἶ· διὰ τῆς Θεοτόκου συντήρησον πολυέλεε.

Τῇ σήμερον ἡμέρᾳ μνήμην ἐπιτελοῦμεν τῶν Ἁγίων Πάντων, τῶν ἐν Ἀσίᾳ, Λιβύῃ, Εὐρώπῃ, Βορρᾷ, Νότῳ καὶ ἁπανταχοῦ τῆς Οἰκουμένης τῷ Θεῷ εὐαρεστησάντων.

Τοὺ Κυρίου μου πάντας ὑμνῶ τοὺς φίλους.
Εἴ τις δὲ μέλλων, εἰς τοὺς πάντας εἰσίτω.

Τὴν παροῦσαν ἑορτὴν οἱ θειότατοι Πατέρες ἡμῶν ἐθέσπισαν ἐκτελεῖν δι' αἰτίαν τοιαύτην. Ἐπειδὴ πολλοὶ μὲν εὐηρέστησαν τῷ Θεῷ, δι' ἀρετὴν δὲ ἄκραν καὶ ἀλλοτρόπως ἀνώνυμοι παρ' ἀνθρώποις ἐγένοντο, ἢ καὶ διά τινα ἴσως τῶν ἀνθρωπίνων, πολλὴν δὲ ὅμως πρὸς Θεὸν δόξαν ἔχοντες. Ἢ καὶ ὅτι πολλοὶ μὲν κατὰ Χριστὸν ἐπολιτεύσαντο ἐν Ἰνδοῖς καὶ Αἰγυπτίοις καὶ Ἄραψι, Μεσοποταμίᾳ τε καὶ Φρυγίᾳ καὶ τοῖς ἄνωθεν τοῦ Εὐξείνου, ἔτι δὲ ἐν πάσῃ τῇ Ἑσπέρᾳ ἄχρι καὶ αὐτῶν τῶν Βρεττανικῶν νήσων· ἁπλῶς εἰπεῖν, ἐν Ἀνατολῇ καὶ Δύσει· οὐκ ἦν δὲ εὐπετὲς τούτους ἅπαντας ὡς χρεὼν τιμῆσαι διὰ τὴν ἀπειρίαν, καθὰ ἡ Ἐκκλησιαστικὴ παρελήφθη συνήθεια. Ἵνα τοίνυν καὶ τὴν παρ' ἐκείνων

www.tezaurliturgic.ro

πάντων βοήθειαν ἐπισπώμεθα, ὅπου δήποτε γῆς τῷ Θεῷ εὐηρέστησαν, ἄλλως τε καὶ διὰ τοὺς ἐπιγενησομένους ἴσως ἁγίους τὴν τῶν Ἁγίων Πάντων ἑορτὴν οἱ θειότατοι Πατέρες ἑορτάζειν ἐθέσπισαν, πάντας τούς τε πρότερον καὶ ὕστερον, ἀφανεῖς τε καὶ ἐμφανεῖς τιμῶντες καὶ συμπεριλαμβάνοντες. Ἢ καὶ τρίτον· ἐχρῆν τοὺς κατὰ μέρος ἐφ' ἑκάστης ἡμέρας ἑορταζομένους Ἁγίους καὶ μιᾷ συναχθῆναι ἡμέρᾳ, ἵνα δειχθείη, ὅτι ὑπὲρ ἑνὸς Χριστοῦ ἠγωνίσαντο καὶ πάντες τὸ αὐτὸ τῆς ἀρετῆς ἔδραμον στάδιον· καὶ οὕτω πάντες ὡς ἑνὸς Θεοῦ δοῦλοι ἀξίως ἐστεφανώθησαν, καὶ τὴν Ἐκκλησίαν οὗτοι συνέστησαν, τὸν ἄνω κόσμον ἀναπληρώσαντες· διερεθίζοντες δὲ καὶ ἡμᾶς τὸν ἴσον ἀγῶνα τούτοις ἀνύειν, διάφορον ὄντα καὶ πολυειδῆ, πρὸς ὅ,τι ἕκαστος ἔχει δυνάμεως, ὅλῃ προθυμίᾳ ἐπείγεσθαι.

Τούτων τοίνυν τὴν μνήμην ἐπιτελοῦντες σήμερον, τιμῶμεν εὐλαβῶς καὶ μακαρίζομεν πάντας· Δικαίους, Προφήτας, Ἀποστόλους, Μάρτυρας, Ὁμολογητάς, Ποιμένας, Διδασκάλους, Ὁσίους, ἄνδρας τε καὶ γυναῖκας, γνωστοὺς καὶ ἀγνώστους, τοὺς προστεθέντας, καὶ τοὺς προστιθεμένους, ὅσοι ἀπὸ Ἀδὰμ ἕως τοῦ νῦν ἐτελειώθησαν ἐν εὐσεβείᾳ καὶ διὰ τῶν καλῶν ἔργων ἐδόξασαν τὸν Θεόν. Τούτους πάντας καὶ αὐτὰ προσέτι τῶν Ἀγγέλων τὰ τάγματα, πρὸ πάντων δὲ καὶ μετὰ πάντων τὴν ὑπεραγίαν Δέσποιναν καὶ Κυρίαν ἡμῶν Θεοτόκον, Μαρίαν τὴν ἀειπάρθενον, τιμῶμεν σήμερον διὰ τῆς παρούσης ἑορτῆς, προτιθέμενοι τὸν βίον αὐτῶν ἀρετῆς παράδειγμα, καὶ παρακαλοῦντες αὐτούς, ἵνα πρεσβεύωσιν ὑπὲρ ἡμῶν πρὸς τὸν Θεόν. Οὗ ἡ χάρις καὶ τὸ ἄπειρον ἔλεος εἴη μετὰ πάντων ἡμῶν.

Ταῖς τῶν ἀπ' αἰῶνος Ἁγίων Πάντων πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἡμῶν, τὰς τῶν αἱρέσεων ἐπαναστάσεις κατάβαλε, καὶ ἡμᾶς ἐν ὁμονοίᾳ καὶ εἰρηνικῇ καταστά-



σει διαφύλαξον, καὶ τῆς οὐρανίου σου βασιλείας ἀξίωσον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Ἀμήν.

Ὠδὴ ζ'. Θεοῦ συγκατάβασιν.

Φωτὸς φῶτα δεύτερα, τοῦ πρώτου ὄντες Ἅγιοι Ἄγγελοι, ἐν μεθέξει ἀΰλῳ καὶ πανολβίῳ καταφαιδρύνεσθε, ὅθεν κραυγάζω. Τὸν νοῦν μου φωτίσατε ἐσκοτισμένον ἀεὶ τοῦ βίου τοῖς πάθεσι.

Χορὸς ὁ μακάριος, τῶν Ἀποστόλων καθικετεύει σε, σὺν τῷ θείῳ προδρόμῳ, τῶν Ἀθλοφόρων καὶ Ἱερῶν προφητῶν, Ἱεραρχῶντε Ὁσίων φιλάνθρωπε· πάριδε πάντων ἡμῶν τὰ πλημμελήματα.

Ψυχῆς μου κατάβαλε, Χριστὲ τὸν πόνον, καὶ ταύτην οἴκτειρον, τῶν Ἱερομαρτύρων Ἱεραρχῶν τε καὶ τῶν Ὁσίων σου, ταῖς μεσιτείαις μὴ καταισχύνῃς με, ἡνίκα μέλλω τῷ σῷ θρόνῳ παρίστασθαι.

Θεοτοκίον.

Ὡς θρόνος πυρίμορφος, τὸν βασιλέα φέρεις τῆς κτίσεως· ὃν δυσώπει Παρθένε, σὺν μακαρίαις καὶ ἱεραῖς γυναιξί, τῆς βασιλείας αὐτοῦ ἀξιῶσαί με, ὑμνολογοῦντα πιστῶς τὴν προστασίαν σου.

Ὠδὴ η'. Ἑπταπλασίως κάμινον.

Ὦ Χερουβὶμ πυρίμορφα, Σεραφὶμ πολυόμματα, θρόνοι, ἐξουσίαι, καὶ Ἀρχαὶ καὶ Ἄγγελοι, καὶ πάντες Ἀρχάγγελοι, καὶ Κυριότητες Ἱεραί, σὺν τῷ μακαρίῳ δυσωπεῖτε προδρόμῳ, Προφήταις, Ἀποστόλοις, Ἱεράρχαις Ὁσίοις, καὶ πᾶσι τοῖς δικαίοις ἡμᾶς ἐλεηθῆναι.

Δότε ἡμῖν βοήθειαν, Πέτρε Παῦλε Ἰάκωβε, καὶ Βαρθολομαῖε. Ματθαῖε Φίλιππε καὶ Θωμᾶ, Ἰάκωβε Ἀνδρέα, Μάρκε, Λουκᾶ, καὶ Ἰωάννη φίλε Χριστοῦ, Σίμων καὶ Ἰούδα παμμακάριστοι θεῖοι καὶ μέγιστε Ματθία, ἐπηρείαις τοῦ πλάνου, καταπεπονημένοις καὶ ἐξηπορημένοις.

www.tezaurliturgic.ro

Ἡλιακῶν λαμπρότερος, χρηματίσας ἐλλάμψεων, Στέφανε ὁ πρῶτος ἀθλητῶν γενόμενος, σὺν τούτοις ἱκέτευε καταυγασθῆναι πάντας ἡμᾶς, καὶ τῆς ἁμαρτίας ἐκφυγεῖν πάντα ζόφον, βοῶντας τῷ Δεσπότῃ Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἰχνηλατεῖν με πάναγνε, τοὺς Ὁσίως βιώσαντας, διὰ πολιτείας ἐναρέτου ποίησον, ἐχθροὺς καταράσσουσα τοὺς ἀφειδεῖς με θλίβοντας, καὶ πρὸς τῆς σαρκὸς κατολισθαίνειν τὰ πάθη, ἀπαύστως ἐνοχλοῦντας, ἵνα χαίρων κραυγάζω. Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Ὢ θεῖαι ἐξουσίαι καὶ Χερουβὶμ, Σεραφεὶμ Κυριότητες Ἄγγελοι θρόνοι, Ἀρχαὶ, πᾶσαι καὶ δυνάμεις πανευκλεεῖς, καὶ ἱεροὶ Ἀρχάγγελοι, δέησιν ποιεῖτε πρὸς τὸν Θεὸν, καλῶς ἡμᾶς βιῶσαι, τυχεῖν τε σωτηρίας, καὶ τῶν δεινῶν ἀπολυτρώσασθαι.

Σὺν πᾶσι τοῖς προφήταις ὡς προφητῶν, χρηματίσας ὑπέρτερος πρόδρομε τῶν ἀγαθῶν πάντας καταξίωσον καὶ ἡμᾶς, τοὺς κακωθέντας πάθεσι, καὶ ταῖς ἐπηρείαις τοῦ πονηροῦ, ἀεὶ συνεχομένους καὶ βίου ταῖς ἀπάταις, ὅπως ὑμᾶς πίστει γεραίρωμεν.

Ἡ θεία Ἀποστόλων πανευκλεής, δωδεκὰς σὺν τοῖς μάρτυσιν ἅπασιν ἱερουργοῖς, καὶ Ἱερομάρτυσιν Ἱεροῖς, προφήταις μακαρίοις τε, Ὅσιοι καὶ δίκαιοι, αἱ στεῤῥῶς ἀθλήσασαι γυναῖκες, ὑπὲρ ἡμῶν πρεσβείαν, πρὸς τὸν φιλάνθρωπον ποιήσατε.

Θεοτοκίον.

Φιλάγαθε παρθένε τὸν ἀγαθὸν, ἐκδυσώπει Υἱόν σου καὶ Κύριον διὰ παντὸς, τὴν κεκακωμένην ταῖς προσβολαῖς, τοῦ ψυχοφθόρου δράκοντος, καὶ ἐξασθενήσασάν μου ψυχὴν, ἰάσασθαι καὶ σῶσαι, καὶ πάσαις ἀγαθῦναι, ταῖς φωτοφόροις ἀναβάσεσι.



## Ἐξαποστειλάριον.

Τοῖς μαθηταῖς συνέλθωμεν.

Τὸν βαπτιστὴν καὶ πρόδρομον, Ἀποστόλους, Προφήτας, Μάρτυρας Ἱεράρχας τε, Ἀσκητὰς καὶ Ὁσίους, Ἱερομάρτυρας ἅμα, φιλοθέους γυναῖκας, καὶ τοὺς Δικαίους ἅπαντας, καὶ Ἀγγέλων τὰς τάξεις χρεωστικῶς, ὕμνοις καταστέψωμεν δυσωποῦντες, τῆς δόξης τούτων τεύξασθαι, πρὸς Χριστοῦ τοῦ σωτῆρος.

Γυναῖκες ἀκουτίσθητε.

Οἱ κόσμον ἀρνησάμενοι, καὶ τὸν σταυρὸν ἀράμενοι, πληθὺς Ὁσίων πατέρων, σὺν τοῖς χοροῖς τῶν μαρτύρων, Ἱεραρχῶν ὁμήγυρις, καὶ γυναικῶν τὸ σύνταγμα, ἡμᾶς καταφραιδύνατε, τοῦ ἀνυμνῆσαι ἀξίως, ὑμῶν τὴν πάμφωτον μνήμην.

Θεοτοκίον.

Μαρία καθαρώτατον, χρυσοῦν θυμιατήριον, τῆς ἀχωρήτου Τριάδος, δοχεῖον γεγενημένη, ἐν ᾧ Πατὴρ ηὐδόκησεν, ὁ δὲ Υἱὸς ἐσκήνωσε, καὶ Πνεῦμα τὸ πανάγιον, ἐπισκιάσαν σοι Κόρη, ἀνέδειξε Θεοτόκον.

## Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους η'. καὶ ψάλλομεν Ἀναστάσιμα δ'. Καὶ τῶν Ἁγίων δ'. Ἦχος α'.

Πίστεως συμφωνίᾳ, τὴν κοσμικὴν πανήγυριν τῶν ἀπ' αἰῶνος Θεῷ εὐαρεστησάντων, Πατριαρχῶν τὸ τίμιον, καὶ τῶν Προφητῶν τὸν σύλλογον, Ἀποστόλων ἐγκαλλώπισμα, Μαρτύρων τὸ ἄθροισμα, Ἀσκητῶν τὸ καύχημα, πάντων τῶν Ἁγίων τὴν μνήμην, πνευματικῶς ἑορτάσωμεν· πρεσβεύουσι γὰρ ἀπαύστως δωρηθῆναι εἰρήνην τῷ κόσμῳ, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δεῦτε πάντες οἱ πιστοὶ, τῶν Ἁγίων πάντων τὴν πανένδοξον μνήμην, ἐν ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς εὐφημήσωμεν· τὸν βαπτιστὴν τοῦ Σωτῆ-

www.tezaurliturgic.ro

ρος, Ἀποστόλους, Προφήτας, Μάρτυρας, Ἱεράρχας, Διδασκάλους, Ὁσίους, Ἀσκητάς, καὶ Δικαίους, καὶ τῶν ἁγίων γυναικῶν τὸ φιλόθεον σύστημα, σεβασμίως μακαρίζοντες, συμφώνως ἐκβοήσωμεν. Ὑπεράγαθε Χριστὲ ὁ Θεὸς ἡμῶν, ταῖς αὐτῶν πρεσβείαις παράσχου εἰρήνην ταῖς Ἐκκλησίαις σου, νίκας κατ' ἐχθρῶν τοῖς εὐσεβέσι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δεῦτε ἅπαντες πνευματικῶς εὐφρανθῶμεν, ἐπὶ τῇ μνήμῃ τῶν Ἁγίων. Ἰδοὺ γὰρ παραγέγονε πλουτοποιὰ ἡμῖν χαρίσματα κομίζουσα· διὸ ἐν φωνῇ ἀγαλλιάσεως καὶ καθαρῷ συνειδότι, ἀναβοήσωμεν λέγοντες. Χαίρετε Προφητῶν ὁ σύλλογος, οἱ τὴν ἔλευσιν Χριστοῦ, τῷ κόσμῳ κηρύξαντες, καὶ τὰ πόρρω ἐγγὺς προβλέποντες. Χαίρετε Ἀποστόλων ὁ χορός, οἱ τῶν ἐθνῶν σαγηνευταὶ καὶ ἁλιεῖς τῶν ἀνθρώπων. Χαίρετε Μαρτύρων ὁ δῆμος, οἱ ἐκ περάτων γῆς συναθροισθέντες εἰς μίαν πίστιν, καὶ ὑπὲρ ταύτης βασάνων αἰκισμοὺς ὑπομείναντες, καὶ τελείως τὸν τῆς ἀθλήσεως στέφανον εἰληφότες. Χαίρετε Πατέρων ὁ μελισσών, οἱ τὰ ἑαυτῶν σώματα τῇ ἀσκήσει κατατήξαντες, καὶ νεκρώσαντες τὰ πάθη τῆς σαρκός, τὸν νοῦν θείῳ ἔρωτι ἐπτερώσατε, εἰς οὐρανοὺς ἀνίπτασθε, καὶ σὺν Ἀγγέλοις εὐφραινόμενοι, ἀπολαύετε τῶν αἰωνίων ἀγαθῶν. Ἀλλ' ὦ προφῆται, ἀπόστολοι καὶ μάρτυρες σὺν ἀσκηταῖς, τὸν ὑμᾶς στεφανώσαντα ἐκτενῶς δυσωπεῖτε, τοῦ λυτρωθῆναι ἐξ ἐχθρῶν ἀοράτων καὶ ὁρατῶν, τοὺς ἐν πίστει καὶ πόθῳ τελοῦντας, τὴν ἀεισέβαστον μνήμην ὑμῶν. *Ἦχος πλ. δ'.*

Ἣν διήλθετε κτίσιν φωτίσαντες, οἱ τοῦ Σωτῆρος μαθηταί, τὴν πλάνην τῶν εἰδώλων, ὡς ὕλην καταφλέξαντες τοῖς διδάγμασιν ὑμῶν, τὰ ἔθνη ἐξ ἀγνωσίας βυθοῦ, πρὸς τὴν θείαν γνῶσιν σαγηνεύσαντες ἐσώσατε· καὶ νῦν πρεσβεύσατε Χριστῷ, ὅπως ἵλεως γένηται ἡμῖν, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.



*Δόξα ἦχος πλ. α'.*

Τῇ νῦν πανηγύρει συνδράμωμεν οἱ πιστοί· προτίθεται γὰρ ἡμῖν πνευματικὴ τράπεζα, καὶ κρατὴρ μυστικός, ἐξ ἡδέων ἐδεσμάτων εὐφροσύνης πλήρης, αἱ τῶν μαρτύρων ἀρεταί· οὗτοι γὰρ οἱ καρτερόψυχοι, ἐκ τῶν περάτων τῆς γῆς τῶν τοῦ σώματος ἄκρων ἑτεροπόνους αἰκισμούς, τῷ Θεῷ προσήνεγκαν, θυσίαν λογικήν, πᾶσαν ἀκμὴν ἡλικίας· οἱ μὲν τὰς κεφαλὰς ἀποτεμνόμενοι, ἕτεροι δὲ χειρῶν διαιρέσεις, καὶ πάσης ἁρμονίας ἅμα, πάντες οἱ Ἅγιοι τῶν τοῦ Χριστοῦ παθημάτων κοινωνοὶ γεγόνασιν. Ἀλλ' ὦ στεφάνους αὐτοῖς ἀμοιβὰς βασάνων δεδωκὼς Κύριε, κατ' ἴχνος τούτων πολιτεύεσθαι, ἀξίωσον ἡμᾶς ὡς φιλάνθρωπος.

*Καὶ νῦν.* Ὑπερευλογημένη.

Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.

---

## Εἰς τὴν Λειτουργίαν.

Ὁ Ἀπόστολος. Προκείμενον *Ἦχος δ'.*

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

*Στίχ.* Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

*Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.*

Ἀδελφοί, οἱ Ἅγιοι πάντες διὰ πίστεως κατηγωνίσαντο βασιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν στόματα λεόντων, ἔσβεσαν δύναμιν πυρός, ἔφυγον στόματα μαχαίρας, ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας, ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτρίων· ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν· ἄλλοι δὲ ἐτυμπανίσθησαν οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν· ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ φυλακῆς· ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐπειράσθησαν, ἐν φόνῳ μαχαίρας ἀπέθανον, περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, (ὧν οὐκ ἦν

www.tezaurliturgic.ro

ἄξιος ὁ κόσμος·) ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς. Καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως, οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν, τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι. Τοιγαροῦν καὶ ἡμεῖς τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων, ὄγκον ἀποθέμενοι πάντα, καὶ τὴν εὐπερίστατον ἁμαρτίαν, δι' ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα, ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν.

**Εὐαγγέλιον.** *Ἐκ τοῦ κατὰ Ματθαῖον.*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Πᾶς ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. Ὅστις δ' ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι αὐτὸν κἀγὼ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος· καὶ ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος· καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος. Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν αὐτῷ. Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι, τί ἄρα ἔσται ἡμῖν; Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὑμεῖς οἱ ἀκολουθήσαντές μοι, ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. Καὶ πᾶς ὃς ἀφῆκεν οἰκίας, ἢ ἀδελφοὺς ἢ ἀδελφάς, ἢ πατέρα ἢ μητέρα, ἢ γυναῖκα ἢ τέκνα, ἢ ἀγροὺς ἕνεκεν τοῦ ὀνόματός μου, ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει. Πολλοὶ δὲ ἔσονται πρῶτοι ἔσχατοι, καὶ ἔσχατοι πρῶτοι.

**Κανών.** Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ.



## Μεγαλυνάρια.

Αἱ γενεαὶ πᾶσαι, ὑμᾶς μεγαλυνοῦμεν, ἅπαντας τοὺς Ἁγίους.

Αἱ γενεαὶ πᾶσαι, ὕμνοις μακαριοῦμεν, ὑμᾶς Ἅγιοι Πάντες.

Δῆμος φιλοχρίστων, ἀθροίσθητε τελέσαι, μνήμην Ἁγίων Πάντων.

Οἱ ἐν τῷ κόσμῳ δεῦτε, ᾠδὴν ᾄσωμεν πάντες, τοῖς δούλοις τοῦ Κυρίου.

Θάλασσα γῆ καὶ πόλος, τελεῖ τὴν θείαν μνήμην, ὑμῶν Ἅγιοι πάντες.

Ἄγγελοι σὺν ἀνθρώποις, πανήγυριν τελοῦσι, τὴν τῶν Ἁγίων Πάντων

Κατὰ τὸν Σολομῶντα, δίκαιοι ὄντως ζῶσιν, εἰς πάντας τοὺς αἰῶνας.

Χορὸς τῶν Ἀποστόλων, ὑπὲρ ἡμῶν τῷ Κτίστῃ, μὴ παύσησθε πρεσβεύειν.

Χορὸς τῶν Ὀρθοδόξων, ὑμᾶς μακαριοῦμεν, Ἀπόστολοι Κυρίου.

Εἰς πᾶσαν γῆν ἐξῆλθεν, ὁ φθόγγος Ἀποστόλων, Δαβὶδ καθάπερ ψάλλει.

Τῶν προφητῶν τὰ στίφη, χοροῖς τοῖς τῶν δικαίων, ἐνθέως νῦν συγχαίρει.

Τὴν σάρκωσιν τοῦ Λόγου, προείδετε ἐμπνεύσει, Πνεύματος ὦ προφῆται.

Προφῆται τοῦ Ὑψίστου, Μωσῆ Δαβὶδ σὺν ἄλλοις, ἡμᾶς περιφρουρεῖτε.

Δῆμος ἀθλοφόρων, στέφεται σὺν τοῖς ὕμνοις, ὑπὸ τῶν φιλοχρίστων.

Ἆθλα τὰ τῶν μαρτύρων, ἐξίσταντο ὁρῶντες, Ἄγγελοι οὐρανόθεν.

Ἰδοὺ νέφος μαρτύρων, οὕσπερ πρὸς τὸν Δεσπότην, προβάλλομεν μεσίτας.

www.tezaurliturgic.ro

Ἰδοὺ στρατὸς ὁ θεῖος, ὅνπερ κατ' ἐναντίων, ἔχομεν ἐπικούρους.

Ἱεραρχῶν χορεῖαι, σήμερον συγκαλοῦσιν, ἡμᾶς πρὸς εὐφημίαν.

Ἡ οἰκουμένη πᾶσα, τὴν μνήμην Ἱεράρχαι, ὑμῶν πανηγυρίζει.

Ὦ θεῖοι Ἱεράρχαι, λιταῖς ὑμῶν πρὸς Κτίστην, ἡμᾶς περιφρουρεῖτε.

Τὰ τάγματα δικαίων, χαίρουσιν ἐν τῇ μνήμῃ, τῶν θεραπόντων Κτίστου.

Ὑπὲρ ἡμῶν πρεσβείαν, ποιεῖτε θεοφόροι, τῶν νῦν ἑορταζόντων.

Ἀσκητικοὶ ἀγῶνες, ἐξέστησαν Ἀγγέλους, ὑμῶν Ὅσιοι Πάντες.

Ὀστᾶ τὰ τῶν Ἁγίων, δαίμονας ἀπελαύνει· θαῦμα φρικῶδες τοῦτο.

Χορὸς τῶν ἀθλοφόρων, ἡμᾶς περιφρουρεῖτε, λιταῖς ὑμῶν πρὸς Κτίστην.

Χορὸς τῶν Ἀποστόλων, ῥύσασθε ἡμᾶς πάντας, ἐκ βλάβης καὶ κινδύνου.

Προφῆται τοῦ Ὑψίστου, ὑμᾶς οἱ εὐφημοῦντες, ῥυσθείημεν κινδύνων.

Δῆμος τῶν Ὁσίων, ὑπὲρ ἡμῶν τὸ θεῖον, ἐκλιπαρεῖν μὴ παύσῃ.

Χορὸς ὁ τῶν Δικαίων, ὑμᾶς οἱ νῦν τιμῶντες, ῥυσθείημεν γεέννης. *Δόξα.*

Τρισήλιε Θεέ μου, λιταῖς τῶν σῶν Ἁγίων, σῶσον ἡμᾶς σοὺς δούλους. *Καὶ νῦν. Θεοτοκίον.*

Ἀμόλυντε παρθένε, σὺν πᾶσι τοῖς Ἁγίοις, ὑπὲρ ἡμῶν δυσώπει.

Εἰς τὰς καθημερινὰς μετὰ τό, Πλ ηρώσωμεν·

*Ἀπόστιχα, ἦχος πλ. β'.* Τριήμερος ἀνέστης.

Ἡ χάρις ὑπερίσχυσεν, ἡ πίστις ἐπεκράτησεν, ἐπληρώθη πάντα γνώσεως Θεοῦ· διὰ τῶν Ἀποστόλων, καὶ πάντων τῶν Ἁγίων, τὴν σωτηρίαν ἐπλουτήσαμεν.



*Στίχ.* Θαυμαστὸς ὁ Θεός.

Τοῦ βίου ἐν τῷ κλύδωνι, ἀπαύστως χειμαζόμενοι, ἐκβοῶμεν, Σῶσον πάντας ἀγαθέ, πρεσβείαις τῶν πανσόφων, καὶ θείων σου Ἁγίων, πάντων ὁμοῦ ὦ ὑπεράγαθε.

*Στίχ.* Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.

Οὐράνια μυστήρια, ἀνθρώπινα μαθήματα, χαρισμάτων συνδρομὴ παντοδαπῶν, μετὰ κατορθωμάτων, νικώντων πάντα λόγον, τοὺς πάντας Ἁγίους ἐθαυμάστωσε.

Δόξα ἦχος πλ. β'.

Εὖ δοῦλοι ἀγαθοὶ καὶ πιστοί, εὖ ἐργάται τοῦ ἀμπελῶνος Χριστοῦ· οἱ καὶ τὸ βάρος τῆς ἡμέρας βαστάσαντες, καὶ τὸ δεδομένον τάλαντον αὐξήσαντες, καὶ τοῖς μεθ' ὑμᾶς ἐλθοῦσι μὴ φθονήσαντες. Διὸ ἤνοικται πύλη βασιλείας ὑμῖν· Εἰσελθόντες οὖν εἰς τὴν χαρὰν τοῦ ποιήσαντος, πρεσβεύσατε ὑπὲρ ἡμῶν ἅγιοι Πάντες.

Καὶ νῦν. Θεοτοκίον.

## ΘΕΟΤΟΚΙΑ ΚΑΙ ΣΤΑΥΡΟΘΕΟΤΟΚΙΑ

Τεθέντα ἐνταῦθα ἵνα ψάλλωνται ἐν εὐκολίᾳ μετὰ τὰ Δοξαστικά.

*Ἦχος α'.* Θεοτοκίον.

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμῶν μὴ παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς παναγία Παρθένε.

Σταυροθεοτοκίον. Πανεύφημοι μάρτυρες.

Σφαγήν σου τὴν ἄδικον Χριστέ, ἡ παρθένος βλέπουσα, ὀδυρομένη ἐβόα σοι· τέκνον γλυκύτατον, πῶς ἀδίκως πάσχεις, πῶς τῷ ξύλῳ κρέμασαι, ὁ πᾶσαν γῆν κρεμάσας τοῖς ὕδασι; μὴ λίπῃς μόνην με, εὐεργέτα πολυέλεε, τὴν μητέρα, καὶ δούλην σου δέομαι.

www.tezaurliturgic.ro

Ἦχος β'. Θεοτοκίον. Τὴν πᾶσαν ἐλπίδα μου.

Σταυροθεοτοκίον. Ὅτε ἐκ τοῦ ξύλου.

Βότρυν τὸν παμπέπειρον Ἁγνή, ὃν ἀγεωργήτως ἐν μήτρᾳ ἐκυοφόρησας, ξύλῳ ὡς ἑώρακας τοῦτον κρεμάμενον, θρηνῳδοῦσα ἠλάλαζες καὶ ἔκραζες, τέκνον, γλεῦκος ἐναπόσταξον, δι' οὗ ἡ μέθη ἀρθῇ, πᾶσα τῶν παθῶν εὐεργέτα, δι' ἐμοῦ τῆς σὲ τετοκυίας, θείαις παρακλήσεσιν ὡς εὔσπλαγχνος.

Ἦχος γ'. Θεοτοκίον.

Ἁγιόπρωτε σεμνή, ἐγκώμιον οὖσα τῶν οὐρανίων ταγμάτων, Ἀποστόλων ὑμνῳδία, προφητῶν περιοχή· Δέσποινα πρόσδεξαι, καὶ ἡμῶν τὰς δεήσεις.

Σταυροθεοτοκίον.

Ῥομφαία τὴν καρδίαν σου, διῆλθε Πάναγνε, ἡνίκα τὸν Υἱόν σου ἐπὶ σταυροῦ προσέβλεψας καὶ ἐβόας· μή ἄτεκνόν με δείξῃς, Υἱέ μου καὶ Θεέ μου, ὁ συντηρήσας με μετὰ τόκον παρθένον.

Ἦχος δ'. Θεοτοκίον. Ἐκ παντοίων κινδύνων.

Σταυροθεοτοκίον. Ὡς γενναῖον ἐν μάρτυσι.

Ὡς ἑώρακε Κύριε, ἡ παρθένος καὶ μήτηρ σου, ἐν σταυρῷ κρεμάμενον, ἐξεπλήττετο, καὶ ἀτενίζουσα ἔλεγεν· Υἱὲ ποθεινότατε, πῶς ἐν ξύλῳ τοῦ σταυροῦ, ἀνηρτήθης μακρόθυμε; πῶς τὰς χεῖράς σου, καὶ τοὺς πόδας σου Λόγε, προσηλώθης, ὑπ' ἀνόμων καὶ τὸ αἷμα, τὸ σὸν ἐξέχεας Δέσποτα.

Ἦχος πλ. α'. Θεοτοκίον. Μακαρίζομέν σε...

Ἕτερον.

Σὲ δυσωποῦμεν, ὡς Θεοῦ μητέρα, εὐλογημένη πρέσβευε, σωθῆναι ἡμᾶς.

Σταυροθεοτοκίον. Χαίροις ἀσκητικῶν.

Λόγχῃ σου τὴν πλευρὰν ὦ Υἱέ, ὀρυττομένην καθορῶσα τιτρώσκομαι, τῆς λύπης δεινῇ ῥομφαίᾳ, καὶ στεναγμὸν ἐκ ψυχῆς, προϊέναι ὅλως οὐ δεδύνημαι· ἡ πάναγνος ἔλεγε, παρεστῶσα τῷ πάθει σου, καὶ τὴν σφαγήν σου, καθορῶσα τὴν ἄδικον, ἀνεξίκακε, ὑπεράγαθε Κύριε· ποῦ μοι τὰ εὐαγγέλια, βοῶσα σὺν δάκρυσι; ποῦ ὁ τὸ χαῖρέ μοι λέξας; ποῦ ἡ λοχεία ἡ ἄφραστος; ποῦ Πέτρος ὁ φίλος; ἀλλὰ δόξα τῇ ἀφάτῳ μακροθυμίᾳ σου.



Ἦχος πλ. β'. Θεοτοκίον. Θεοτόκε σὺ εἶ ἡ ἄμπελος...

Ἕτερον.

Θεὸν ἐκ σοῦ, σαρκωθέντα ἔγνωμεν, Θεοτόκε Παρθένε· αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Σταυροθεοτοκίον. Τριήμερος ἀνέστης.

Παρίστατο τῷ ξύλῳ ποτέ, καιρῷ τῷ τῆς σταυρώσεως, ἡ Παρθένος σὺν παρθένῳ μαθητῇ, καὶ κλαίουσα ἐβόα. Οἴμοι πῶς πάσχεις, πάντων Χριστὲ ὑπάρχων ἡ ἀπάθεια.

Ἕτερον.

Ὁρῶσά σε σταυρούμενον, Χριστὲ ἡ σὲ κυήσασα, ἀνεβόα· τί τὸ ξένον, ὃ ὁρῶ, μυστήριον Υἱέ μου; πῶς ἐπὶ ξύλου θνήσκεις, σαρκὶ κρεμάμενος ζωῆς χορηγέ.

Ἦχος βαρύς. Θεοτοκίον.

Λύτρωσαι Θεοτόκε τῶν συνεχουσῶν ἡμᾶς ἁμαρτιῶν, ὅτι ἄλλην ἐλπίδα οἱ πιστοὶ οὐκ ἔχομεν, εἰμὴ σὲ καὶ τὸν ἐκ σοῦ τεχθέντα Θεόν.

Σταυροθεοτοκίον.

Ἐν ξύλῳ προσπαγέντα σε ἑκουσίως, ἡ πανάμωμος ὡς ἑώρακε θρηνῳδοῦσα, ὕμνει τὸ κράτος σου.

Ἦχος πλ. δ'. Θεοτοκίον. Δέσποινα πρόσδεξαι.

Σταυροθεοτοκίον.

Ὢ τοῦ παραδόξου θαύματος, ὢ μυστηρίου καινοῦ, ὢ φρικτῆς ἐγχειρίσεως! ἡ Παρθένος ἔλεγεν, ἐν σταυρῷ σε ὡς ἔβλεψεν. ἐν μέσῳ δύο λῃστῶν κρεμάμενον, ὃν ἀνωδύνως, φρικτῶς ἐκύησεν· ἔκλαιε κράζουσα. Οἴμοι τέκνον φίλτατον· πῶς ὁ δεινός, δῆμος καὶ ἀχάριστος, Σταυρῷ προσήλωσε.

www.tezaurliturgic.ro

# ΕΥΑΓΓΕΛΙΑ ΚΑΙ ΑΠΟΣΤΟΛΟΙ

## ΕΙΣ ΔΙΑΦΟΡΟΥΣ ΜΝΗΜΑΣ ΑΓΙΩΝ.

### Εἰς Ἀποστόλους.

Εὐαγγέλιον τοῦ Ὄρθρου. *Ἐκ τοῦ κατὰ Λουκᾶν.*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει, καὶ ὁ ἀθετῶν ὑμᾶς ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν ἀποστείλαντά με. Ὑπέστρεψαν δὲ οἱ ἑβδομήκοντα μετὰ χαρᾶς λέγοντες. Κύριε καὶ τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου. Εἶπε δὲ αὐτοῖς. Ἐθεώρουν τὸν Σατανᾶν, ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα. Ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσει. Πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται, χαίρετε δὲ μᾶλλον, ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς. Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ πνεύματι ὁ Ἰησοῦς καὶ εἶπεν· ἐξομολογοῦμαί σοι, Πάτερ Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις. Ναὶ ὁ πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου.

### Εἰς τὴν Λειτουργίαν.

Ἀπόστολος. Προκείμενον ἦχος π. β. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν.

*Στίχ.* Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

*Πρὸς Κορινθίους Α'. ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.*

Ἀδελφοὶ ὁ Θεὸς ἡμᾶς τοὺς ἀποστόλους ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους, ὅτι θέατρον ἐγενήθημεν τῷ κόσμῳ, καὶ Ἀγγέλοις καὶ ἀνθρώποις. Ἡμεῖς μωροὶ διὰ Χριστόν, ὑμεῖς δὲ φρόνιμοι ἐν Χριστῷ· ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροί, ὑμεῖς ἔνδοξοι, ἡμεῖς δὲ ἄτιμοι. Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν, καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα καὶ ἀστατοῦμεν, καὶ κοπιῶμεν ἐργαζόμενοι ταῖς ἰδίαις χερσί· λοιδορούμενοι



εὐλογοῦμεν, διωκόμενοι, ἀνεχόμεθα, βλασφημούμενοι παρακαλοῦμεν· ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν, πάντων περίψημα ἕως ἄρτι· οὐκ ἐντρέπων ὑμᾶς γράφω ταῦτα, ἀλλ' ὡς τέκνα μου ἀγαπητὰ νουθετῶ. Ἐὰν γὰρ μυρίους παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, ἀλλ' οὐ πολλοὺς πατέρας. Ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. Παρακαλῶ οὖν ὑμᾶς, μιμηταί μου γίνεσθε.

Εὐαγγέλιον. *Ἐκ τοῦ κατὰ Ματθαῖον.*

Τῷ καιρῷ ἐκείνῳ, ἰδὼν ὁ Ἰησοῦς τοὺς ὄχλους εὐσπλαγχνίσθη περὶ αὐτῶν, ὅτι ἦσαν ἐκλελυμένοι καὶ ἐρριμμένοι, ὡσεὶ πρόβατα μὴ ἔχοντα ποιμένα. Καὶ προσκαλεσάμενος τοὺς δώδεκα μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτά, καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. Τῶν δὲ δώδεκα Ἀποστόλων τὰ ὀνόματά ἐστι ταῦτα· πρῶτος Σίμων ὁ λεγόμενος Πέτρος, καὶ Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ, Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου καὶ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ. Φίλιππος καὶ Βαρθολομαῖος· Θωμᾶς καὶ Ματθαῖος ὁ Τελώνης, Ἰάκωβος ὁ τοῦ Ἀλφαίου, καὶ Λεββαῖος ὁ ἐπικληθεὶς Θαδδαῖος, Σίμων ὁ Κανανίτης, καὶ Ἰούδας ὁ Ἰσκαριώτης, ὁ καὶ παραδοὺς αὐτόν. Τούτους τοὺς δώδεκα ἀπέστειλεν ὁ Ἰησοῦς παραγγείλας αὐτοῖς λέγων, Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε. Πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Πορευόμενοι δὲ κηρύσσετε λέγοντες· ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. Ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, νεκροὺς ἐγείρετε, δαιμόνια ἐκβάλλετε· δωρεὰν ἐλάβετε, δωρεὰν δότε.

### Εἰς Ἱεράρχας.

Εὐαγγέλιον τοῦ Ὄρθρου. *Ἐκ τοῦ κατὰ Ἰωάννην.*

Εἶπεν ὁ Κύριος· ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται,

www.tezaurliturgic.ro

καὶ νομὴν εὑρήσει· ὁ κλέπτης οὐκ ἔρχεται, εἰμὴ, ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον, ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσιν. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· ὁ μισθωτὸς δὲ καὶ οὐκ ὢν ποιμὴν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον, καὶ ἀφίησι τὰ πρόβατα καὶ φεύγει· καὶ ὁ λύκος ἁρπάζει αὐτὰ καὶ σκορπίζει τὰ πρόβατα· ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστι, καὶ οὐ μέλλει αὐτῷ περὶ τῶν προβάτων. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, καὶ γινώσκω τὰ ἐμὰ καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν. Καθὼς γινώσκει με ὁ πατὴρ, κἀγὼ γινώσκω τὸν πατέρα· καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι· καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.

## Εἰς τὴν Λειτουργίαν.

Ἀπόστολος. Προκείμενον ἦχος δ'.

Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Στίχ. Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν.

Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ἀδελφοί, μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ· ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν πίστιν. Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας. Διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ περιφέρεσθε· καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες. Ἔχομεν θυσιαστήριον, ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν οἱ τῇ σκηνῇ λατρεύοντες· ὧν γὰρ εἰσφέρεται ζώων τὸ αἷμα περὶ ἁμαρτίας εἰς τὰ ἅγια διὰ τοῦ Ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς. Διὸ καὶ ὁ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος



τὸν λαόν, ἔξω τῆς πύλης ἔπαθε. Τοίνυν ἐξερχώμεθα πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς, τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες· οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν. Δι' αὐτοῦ οὖν ἀναφέρωμεν θυσίαν αἰνέσεως διὰ παντὸς τῷ Θεῷ, τουτέστι, καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ. Τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε· τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου· οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη· οὐδὲ καίουσι λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ· οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι ἀλλὰ πληρῶσαι. Ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται· ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

## Εἰς Ἀσωμάτους.

Εὐαγγέλιον τοῦ Ὄρθρου. Ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος. Ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων· λέγω γὰρ ὑμῖν, ὅτι οἱ Ἄγγελοι αὐτῶν ἐν οὐρανοῖς διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς· ἦλθε γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου σῶσαι τὸ ἀπολωλός. Τί ὑμῖν δοκεῖ; ἐὰν γένηταί τινι ἀνθρώπῳ ἑκατὸν πρόβατα, καὶ πλανηθῇ ἓν

www.tezaurliturgic.ro

ἐξ αὐτῶν, οὐχὶ ἀφεὶς τὰ ἐννενήκοντα ἐννέα, ἐπὶ τὰ ὄρη πορευθείς, ζητεῖ τὸ πλανώμενον; Καὶ ἐὰν γένηται εὑρεῖν αὐτό, ἀμὴν λέγω ὑμῖν, ὅτι χαίρει ἐπ' αὐτῷ μᾶλλον ἢ ἐπὶ τοῖς ἐννενήκοντα ἐννέα τοῖς μὴ πεπλανημένοις. Οὕτως οὐκ ἔστι θέλημα ἔμπροσθεν τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς, ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων. Ἐὰν δὲ ἁμαρτήσῃ εἰς σὲ ὁ ἀδελφός σου, ὕπαγε καὶ ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου· ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου· ἐὰν δὲ μὴ ἀκούσῃ, παράλαβε μετὰ σοῦ ἔτι ἕνα ἢ δύο, ἵνα ἐπὶ στόματος δύο μαρτύρων ἢ τριῶν σταθῇ πᾶν ῥῆμα. Ἐὰν δὲ παρακούσῃ αὐτῶν, εἰπὲ τῇ Ἐκκλησίᾳ· ἐὰν δὲ καὶ τῆς Ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὥσπερ ὁ Ἐθνικὸς καὶ ὁ Τελώνης. Ἀμὴν λέγω ὑμῖν, ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ· καὶ ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς, ἔστε λελυμένα ἐν τῷ οὐρανῷ. Πάλιν λέγω ὑμῖν, ὅτι ἐὰν δύο ἡμῶν συμφωνήσωσιν ἐπὶ τῆς γῆς περὶ παντὸς πράγματος, οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς παρὰ τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς· οὗ γὰρ εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν.

## Εἰς τὴν Λειτουργίαν.

Ἀπόστολος. Προκείμενον. *Ἦχος δ'.*

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα.

*Στίχ.* Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

*Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.*

Ἀδελφοί, εἰ ὁ δι' Ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀμελήσαντες σωτηρίας; ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη, συνεπιμαρτυροῦντος τοῦ Θεοῦ σημείοις τε καὶ τέρασι, καὶ ποικίλαις δυνάμεσι, καὶ Πνεύματος ἁγίου μερισμοῖς, κατὰ τὴν αὐτοῦ θέλησιν· οὐ γὰρ Ἀγ-



γέλοις ὑπέταξε τὴν οἰκουμένην τὴν μέλλουσαν, περὶ ἧς λαλοῦμεν. Διαμαρτύρεται δέ πού τις λέγων. Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' Ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου· πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ. Ἐν γὰρ τῷ ὑποτάξαι αὐτῷ τὰ πάντα, οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον· νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα. Τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου, δόξῃ καὶ τιμῇ ἐστεφανωμένον, ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου. Ἔπρεπε γὰρ αὐτῷ, δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι.

Εὐαγγέλιον. *Ἐκ τοῦ κατὰ Λουκᾶν.*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ὁ ἀκούων ὑμῶν ... Ζήτει σελ. 202.

## Εἰς Προφήτας.

Εὐαγγέλιον τοῦ Ὄρθρου. *Ἐκ τοῦ κατὰ Λουκᾶν.*

Τῷ καιρῷ ἐκείνῳ, ἐθαύμαζον οἱ ὄχλοι ἐπὶ τοῖς λόγοις τῆς χάριτος, τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος τοῦ Ἰησοῦ, καὶ ἔλεγον· οὐχ οὗτός ἐστιν ὁ Υἱὸς Ἰωσήφ; Καὶ εἶπε πρὸς αὐτούς. Πάντως ἐρεῖτέ μοι τὴν παραβολὴν ταύτην. Ἰατρὲ θεράπευσον σεαυτόν. Ὅσα ἠκούσαμεν γενόμενα ἐν τῇ Καπερναούμ, ποίησον καὶ ὧδε ἐν τῇ πατρίδι σου· εἶπε δέ. Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐδεὶς προφήτης δεκτός ἐστιν ἐν τῇ πατρίδι αὐτοῦ. Ἐπ' ἀληθείας δὲ λέγω ὑμῖν, πολλαὶ χῆραι ἦσαν ἐν ταῖς ἡμέραις Ἠλιοῦ ἐν τῷ Ἰσραήλ, ὅτε ἐκλείσθη ὁ οὐρανὸς ἐπὶ ἔτη τρία καὶ μῆνας ἕξ, ὡς ἐγένετο λιμὸς μέγας ἐπὶ πᾶσαν τὴν γῆν, καὶ πρὸς οὐδεμίαν αὐτῶν ἐπέμφθη

www.tezaurliturgic.ro

Ἠλίας, εἰμὴ εἰς Σάρεπτα τῆς Σιδῶνος πρὸς γυναῖκα χήραν. Καὶ πολλοὶ λεπροὶ ἦσαν ἐπὶ Ἐλισσαίου τοῦ προφήτου ἐν τῷ Ἰσραήλ, καὶ οὐδεὶς αὐτῶν ἐκαθαρίσθη εἰμὴ Νεεμὰν ὁ Σύρος. Καὶ ἐπλήσθησαν πάντες θυμοῦ ἐν τῇ συναγωγῇ ἀκούοντες ταῦτα. Καὶ ἀναστάντες ἐξέβαλον αὐτὸν ἔξω τῆς πόλεως, καὶ ἤγαγον αὐτὸν ἕως τῆς ὀφρύος τοῦ ὄρους, ἐφ' οὗ ἡ πόλις αὐτῶν ᾠκοδόμητο, εἰς τὸ κατακρημνίσαι αὐτόν. Αὐτὸς δέ, διελθὼν διὰ μέσου αὐτῶν, ἐπορεύετο.

## Εἰς τὴν Λειτουργίαν.

Ἀπόστολος. Προκείμενον ἦχος δ'.

Σὺ Ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

*Στίχ.* Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου.

*Πρὸς Ῥωμαίους ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.*

Ἀδελφοί, οὐκ οἴδατε ἐν Ἠλίᾳ τί λέγει ἡ Γραφή; ὡς ἐντυγχάνει τῷ Θεῷ κατὰ τοῦ Ἰσραήλ, λέγων. Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, καὶ τὰ θυσιαστήριά σου κατέσκαψαν· κἀγὼ ὑπελείφθην μόνος καὶ ζητοῦσι τὴν ψυχήν μου. Ἀλλὰ τί λέγει αὐτῷ ὁ χρηματισμός; Κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ. Οὕτως οὖν καὶ ἐν τῷ νῦν καιρῷ λεῖμμα κατ' ἐκλογὴν χάριτος γέγονεν. Εἰ δὲ χάριτι, οὐκέτι ἐξ ἔργων· ἐπεὶ ἡ χάρις οὐκέτι γίνεται χάρις· εἰ δὲ ἐξ ἔργων, οὐκέτι ἐστὶ χάρις· ἐπεὶ τὸ ἔργον οὐκέτι ἐστὶν ἔργον. Τί οὖν; ὃ ἐπιζητεῖ Ἰσραήλ, τούτου οὐκ ἐπέτυχεν· ἡ δὲ ἐκλογὴ ἐπέτυχεν, οἱ δὲ λοιποὶ ἐπωρώθησαν, (καθὼς γέγραπται· ἔδωκεν αὐτοῖς ὁ Θεὸς πνεῦμα κατανύξεως, ὀφθαλμοὺς τοῦ μὴ βλέπειν, καὶ ὦτα τοῦ μὴ ἀκούειν), ἕως τῆς σήμερον ἡμέρας. Καὶ Δαβὶδ λέγει. Γενηθήτω ἡ τράπεζα αὐτῶν εἰς παγίδα, καὶ εἰς θήραν καὶ εἰς σκάνδαλον καὶ εἰς ἀνταπόδομα αὐτοῖς. Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διὰ παντὸς σύγκαμψον. Λέγω οὖν, μὴ ἔπταισαν, ἵνα πέσωσι; μὴ γένοιτο! ἀλλὰ τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία τοῖς ἔθνεσιν, εἰς τὸ παραζηλῶσαι αὐτούς. Εἰδὲ τὸ παράπτωμα αὐτῶν πλοῦτος κόσμου, καὶ τὸ ἥττημα αὐτῶν πλοῦτος ἐθνῶν, πόσῳ μᾶλλον τὸ πλήρωμα αὐτῶν;



Εὐαγγέλιον. *Ἐκ τοῦ κατὰ Ματθαῖον.*

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους. Οὐαὶ ὑμῖν γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι οἰκοδομεῖτε τοὺς τάφους τῶν προφητῶν, καὶ κοσμεῖτε τὰ μνημεῖα τῶν δικαίων, καὶ λέγετε. Εἰ ἤμεν ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἤμεν κοινωνοὶ αὐτῶν ἐν τῷ αἵματι τῶν προφητῶν· ὥστε μαρτυρεῖτε ἑαυτοῖς, ὅτι υἱοί ἐστε τῶν φονευσάντων τοὺς προφήτας. Καὶ ὑμεῖς πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν· ὄφεις, γεννήματα ἐχιδνῶν, πῶς φύγετε ἀπὸ τῆς κρίσεως τῆς γεέννης; Διὰ τοῦτο, ἰδού, ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς προφήτας, καὶ σοφοὺς καὶ γραμματεῖς· καὶ ἐξ αὐτῶν ἀποκτενεῖτε καὶ σταυρώσετε, καὶ ἐξ αὐτῶν μαστιγώσετε ἐν ταῖς συναγωγαῖς ὑμῶν, καὶ διώξετε ἀπὸ πόλεως εἰς πόλιν· ὅπως ἔλθῃ ἐφ' ὑμᾶς πᾶν αἷμα δίκαιον, ἐκχυνόμενον ἐπὶ τῆς γῆς, ἀπὸ τοῦ αἵματος Ἄβελ τοῦ δικαίου, ἕως τοῦ αἵματος Ζαχαρίου υἱοῦ Βαραχίου, ὃν ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου. Ἀμὴν λέγω ὑμῖν, ἥξει ταῦτα πάντα ἐπὶ τὴν γενεὰν ταύτην. Ἱερουσαλήμ, Ἱερουσαλήμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ἐπισυνάγει ὄρνις τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε; Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος. Λέγω γὰρ ὑμῖν. Οὐ μή με ἴδητε ἀπ' ἄρτι, ἕως ἂν εἴπητε· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

www.tezaurliturgic.ro

## Εἰς Μάρτυρας.

Εὐαγγέλιον τοῦ Ὄρθρου. Ἐκ τοῦ κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. Προσέχετε ἀπὸ τῶν ἀνθρώπων· ἐπιβαλοῦσι γὰρ ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν, καὶ διώξουσι παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας, ἕνεκεν τοῦ ὀνόματός μου. Ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν μὴ προμελετᾷν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ ἀδελφῶν καὶ συγγενῶν καὶ φίλων, καὶ θανατώσουσιν ἐξ ὑμῶν, καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. Καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται· ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

## Εἰς τὴν Λειτουργίαν.

Ἀπόστολος. Προκείμενον ἦχος πλ. δ'.

Σὺ Κύριε φυλάξαις ἡμᾶς καὶ διατηρήσαις ἡμᾶς.

Στίχ. Σῶσόν με Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος.

Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ἀδελφοί, τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων, ὄγκον ἀποθέμενοι πάντα, καὶ τὴν εὐπερίστατον ἁμαρτίαν, δι' ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα, ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν· ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς, ὑπέμεινε Σταυρόν, αἰσχύνης καταφρονήσας, ἐν δεξιᾷ τε τοῦ θρόνου τοῦ Θεοῦ ἐκάθισεν. Ἀναλογίσασθε γὰρ τὸν τοιαύτην ὑπομεμενηκότα ὑπὸ τῶν ἁμαρτωλῶν εἰς αὐτὸν ἀντιλογίαν, ἵνα μὴ κάμητε, ταῖς ψυχαῖς ὑμῶν ἐκλυόμενοι. Οὔπω μέχρις αἵματος ἀντικατέστητε, πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι· καὶ ἐκλέλησθε τῆς παρακλήσεως, ἥτις ὑμῖν ὡς υἱοῖς διαλέγεται· Υἱέ μου μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ



ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος· ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱόν, ὃν παραδέχεται· εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός· τίς γάρ ἐστιν υἱός, ὃν οὐ παιδεύει πατήρ; εἰ δὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ καὶ οὐχ υἱοί. Εἶτα τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν παιδευτὰς καὶ ἐνετρεπόμεθα· οὐ πολλῷ μᾶλλον ὑποταγησόμεθα τῷ πατρὶ τῶν πνευμάτων καὶ ζήσομεν; οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας, κατὰ τὸ δοκοῦν αὐτοῖς, ἐπαίδευον· ὁ δὲ ἐπὶ τὸ συμφέρον, εἰς τὸ μεταλαβεῖν τῆς ἁγιότητος αὐτοῦ.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. Ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε, ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. Μνημονεύετε τοῦ λόγου, οὗ ἐγὼ εἶπον ὑμῖν· οὐκ ἔστι δοῦλος μείζων τοῦ Κυρίου αὐτοῦ. Εἰ ἐμὲ ἐδίωξαν καὶ ὑμᾶς διώξουσιν, εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν. Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με. Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. Ὁ ἐμὲ μισῶν καὶ τὸν πατέρα μου μισεῖ· εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς, ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ καὶ ἑωράκασι καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν πατέρα μου. Ἀλλ' ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν, ὅτι ἐμίσησάν με δωρεάν. Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός, (τὸ πνεῦμα τῆς ἀληθείας, ὁ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται) ἐκεῖνος μαρ-



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro


τυρήσει περὶ ἐμοῦ· καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστε. Ταῦτα λελάληκα ὑμῖν, ἵνα μὴ σκανδαλισθῆτε. Ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ' ἔρχεται ὥρα, ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς, δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ.

Εἰς Ὁσίους.

Εὐαγγέλιον τοῦ Ὄρθρου. Ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰμὴ ὁ Πατήρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰμὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱός ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Εἰς τὴν Λειτουργίαν.

Ἀπόστολος. Προκείμενον ἦχος βαρύς.

Καυχήσονται ὅσιοι ἐν δόξῃ.

Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.

Πρὸς Γαλάτας ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθοσύνη, πίστις, πρᾳότης, ἐγκράτεια· κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος. Οἱ δὲ τοῦ Χριστοῦ, τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. Εἰ ζῶμεν πνεύματι, πνεύματι καὶ στοιχῶμεν. Μὴ γινώμεθα κενόδοξοι, ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθονοῦντες. Ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πρᾳότητος, σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς. Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν.

Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ· καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσαλὴμ καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ, καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν, καὶ οἱ ὀχλούμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύοντο. Καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας. Καὶ αὐτός, ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ, ἔλεγε. Μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. Μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε. Μακάριοί ἐστε, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσι, καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρόν, ἕνεκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου· Χαίρετε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γάρ, ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς.

Εἰς Γυναῖκας.

Εὐαγγέλιον τοῦ Ὄρθρου. Ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. Πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι καὶ πέντε μωραί· αἵτινες μωραί, λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, οὐκ ἔλαβον μεθ' ἑαυτῶν ἔλαιον· αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν. Χρονίζοντος δὲ τοῦ νυμφίου, ἐνύσταξαν πᾶσαι καὶ ἐκάθευδον. Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· Ἰδοὺ ὁ Νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι, καὶ

www.tezaurliturgic.ro



ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον. Δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι λέγουσαι· μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν, πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας, καὶ ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ Νυμφίος, καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ' αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα· ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι λέγουσαι. Κύριε Κύριε ἄνοιξον ἡμῖν· ὁ δὲ ἀποκριθεὶς εἶπεν. Ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν, ἐν ᾗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

## Εἰς τὴν Λειτουργίαν.

Ἀπόστολος. Προκείμενον ἦχος δ'.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

*Στίχ.* Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν,

*Πρὸς Γαλάτας ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.*

Ἀδελφοί, πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν, ὑπὸ νόμον ἐφρουρούμεθα, συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι· ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν. Ἐλθούσης δὲ τῆς πίστεως, οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμεν· πάντες γὰρ υἱοὶ Θεοῦ ἐστὲ διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ. Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Οὐκ ἔνι Ἰουδαῖος οὐδὲ Ἕλλην, οὐκ ἔνι δοῦλος οὐδὲ ἐλεύθερος, οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· πάντες γὰρ ὑμεῖς εἷς ἐστὲ ἐν Χριστῷ Ἰησοῦ. Εἰ δὲ ὑμεῖς Χριστοῦ, ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστέ, καὶ κατ' ἐπαγγελίαν κληρονόμοι. Λέγω δέ, ἐφ' ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου, κύριος πάντων ὤν· ἀλλὰ ὑπὸ ἐπιτρόπους ἐστὶ καὶ οἰκονόμους ἄχρι τῆς προθεσμίας τοῦ πατρός. Οὕτω καὶ ἡμεῖς ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι· ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν.



Εὐαγγέλιον. *Ἐκ τοῦ κατὰ Μάρκον.*

Τῷ καιρῷ ἐκείνῳ, ἠκολούθει τῷ Ἰησοῦ ὄχλος πολὺς καὶ συνέθλιβον αὐτόν. Καὶ γυνή τις οὖσα ἐν ῥύσει αἵματος ἔτη δώδεκα, καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν, καὶ δαπανήσασα τὰ παρ' ἑαυτῆς πάντα, καὶ μηδὲν ὠφεληθεῖσα, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα, ἀκούσασα περὶ τοῦ Ἰησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν, ἥψατο τῶν ἱματίων αὐτοῦ. Ἔλεγε γὰρ ἐν ἑαυτῇ, ὅτι κἂν τῶν ἱματίων αὐτοῦ ἅψωμαι σωθήσομαι. Καὶ εὐθέως ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς, καὶ ἔγνω τῷ σώματι ὅτι ἴαται ἀπὸ τῆς μάστιγος. Καὶ εὐθέως ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ, ἔλεγε, τίς μου ἥψατο τῶν ἱματίων; Καὶ ἔλεγον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. Βλέπεις τὸν ὄχλον συνθλίβοντά σε, καὶ καὶ λέγεις τίς μου ἥψατο; Καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν. Ἡ δὲ γυνὴ φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέγονεν ἐπ' αὐτῇ, ἦλθε καὶ προσέπεσεν αὐτῷ, καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν. Ὁ δὲ εἶπεν αὐτῇ, Θύγατερ, ἡ πίστις σου σέσωκέ σε, ὕπαγε εἰς εἰρήνην, καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ ΝΕΚΡΩΣΙΜΟΣ

---

Εἰς τὸν οἶκον τοῦ λειψάνου, εἰς Ἱερεὺς μετὰ διακόνου εἰσέρχονται ὅπου ὁ νεκρὸς κεῖται· καὶ ὁ μὲν Διάκονος ἐκφωνεῖ τό «Εὐλόγησον Δέσποτα», ὁ δὲ Ἱερεύς, Εὐλογητὸς ὁ Θεός, τὸ Τρισάγιον κτλ. μετὰ τό, Ὅτι σοῦ, ψάλλονται τὰ τροπάρια ταῦτα εἰς ἦχον δ'.

Μετὰ πνευμάτων δικαίων τετελειωμένων...

Εἰς τὴν κατάπαυσίν σου Κύριε...

Δόξα. Σὺ εἶ ὁ Θεὸς ἡμῶν ὁ καταβὰς εἰς Ἅδην...

Καὶ νῦν. Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος Παρθένος...

Ὁ Διάκονος. Ἐλέησον ἡμᾶς ὁ Θεός. κτλ.

Ὁ δὲ Ἱερεὺς τὴν εὐχήν· Θεὸς τῶν πνευμάτων·

Καὶ Ἀπόλυσις.

Εἶτα ἄραντες τὸ λείψανον ἀπερχόμεθα εἰς τὸν ναόν, ψαλλομένου καθ' ὁδὸν τοῦ, Ἅγιος ὁ Θεός, εἰς ἦχον πλ. β'. Ἀφοῦ δὲ φθάσωμεν, τὸ μὲν λείψανον, ἀποτίθεται ἐν τῷ μέσῳ τοῦ ναοῦ, ὁ δὲ Ἀρχιερεὺς εὐλογήσας ἀνέρχεται εἰς τὸν θρόνον· καὶ τοῦ Διακόνου εἰπόντος, Εὐλόγησον Δέσποτα, ἐκφωνεῖ ὁ Ἀρχιερεύς τό, Εὐλογητὸς ὁ Θεός. Εἶτα ψάλλονται τὰ ἑξῆς ὑπὸ τοῦ α'. χοροῦ, ἦχος β'.

Ἄμωμοι ἐν ὁδῷ, Ἀλληλούϊα. Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Ἀλληλούϊα.

Ἐπεπόθησεν ἡ ψυχή μου, τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ. Ἀλληλούϊα.

Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας, βεβαίωσόν με ἐν τοῖς λόγοις σου. Ἀλληλούϊα.

Κλῖνον τὴν καρδίαν μου, εἰς τὰ μαρτύριά σου καὶ μὴ εἰς πλεονεξίαν. Ἀλληλούϊα.

Ἀθυμία κατέσχε με, ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου. Ἀλληλούϊα.

www.tezaurliturgic.ro



Μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου. Ἀλληλούϊα.

Δόξα, Καὶ νῦν. Ἀλληλούϊα.

Ὁ Διάκονος. Ἐλέησον ἡμᾶς ὁ Θεός...

Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως. κτλ.

Καὶ ὁ Ἀρχιερεύς. Ὅτι σὺ εἶ ἡ ἀνάστασις....

Ὁ β'. χορὸς ἦχος πλ. δ.

Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με, συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου. Ἐλέησόν με Κύριε.

Ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. Ἐλέησάν με Κύριε.

Σός εἰμι ἐγὼ σῶσόν με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα. Ἐλέησόν με Κύριε.

Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς με. Ἐλέησόν με Κύριε.

Ἔκλινα τὴν καρδίαν μου τοῦ ποιῆσαι τὰ δικαιώματά σου, εἰς τὸν αἰῶνα δι' ἀντάμειψιν. Ἐλέησόν με Κύριε.

Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ, διεσκέδασαν τὸν νόμον σου. Ἐλέησόν με Κύριε.

Δόξα, Καὶ νῦν. Ἐλέησόν με Κύριε, Κύριε.

Ὁ Διάκονος Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἱερεύς· Ὅτι σὺ εἶ ἡ ἀνάστασις.

Ὁ α'. χορός. Ἦχος πλ. δ.

Καὶ ἐλέησόν με. Ἀλληλούϊα. Ἐπίβλεψον ἐπ' ἐμέ, καὶ ἐλέησόν με, κατὰ τὸ κρῖμα τῶν ἀγαπώντων τὸ ὄνομά σου. Ἀλληλούϊα.

Νεώτερος ἐγώ εἰμι, καὶ ἐξουδενωμένος, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. Ἀλληλούϊα.

Τῆς φωνῆς μου ἄκουσον Κύριε κατὰ τὸ ἔλεός σου, κατὰ τὸ κρῖμά σου ζῆσόν με. Ἀλληλούϊα.



Ἄρχοντες κατεδίωξάν με δωρεάν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου. Ἀλληλούϊα.

Ζήσεται ἡ ψυχή μου καὶ αἰνέσει σε, καὶ τὰ κρίματά σου βοηθήσει μοι· ἐπλανήθην ὡς πρόβατον ἀπολωλός, ζήτησον τὸν δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην.

Ὁ Διάκονος. Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἱερεύς. Ὅτι σὺ εἶ ἡ ἀνάστασις...

Ἔπειτα ἀρχίζει ὁ Ἀρχιερεὺς τὰ Εὐλογητάρια, καὶ ψάλλει τὸ α'. καὶ τὸ, Δόξα· τὰ δὲ λοιπὰ οἱ Ἱερεῖς καὶ οἱ ψάλται· ἐὰν δὲ εἶναι πολλοὶ ἱερεῖς, γίνεται συναπτὴ εἰς τὸ τέλος ἑκάστου τροπαρίου.

Ἦχος πλ. α'.

Εὐλογητὸς εἶ Κύριε δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν Ἁγίων ὁ χορὸς εὗρε πηγὴν τῆς ζωῆς, καὶ θύραν παραδείσου· εὕρω κἀγώ, τὴν ὁδὸν διὰ τῆς μετανοίας· τὸ ἀπολωλὸς πρόβατον ἐγώ εἰμι, ἀνακάλεσαί με Σωτὴρ καὶ σῶσόν με.

Εὐλογητὸς εἶ Κύριε...

Ὁ πάλαι μὴ ἐκ μὴ ὄντων πλάσας με, καὶ εἰκόνι σου θείᾳ τιμήσας· παραβάσει ἐντολῆς δὲ πάλιν με ἐπιστρέψας εἰς γῆν ἐξ ἧς ἐλήφθην, εἰς τὸ καθ' ὁμοίωσιν ἐπανάγαγε, τὸ ἀρχαῖον κάλλος ἀναμορφώσασθαι.

Εὐλογητὸς εἶ Κύριε...

Εἰκών εἰμι, τῆς ἀρρήτου δόξης σου, εἰ καὶ στίγματα φέρω πταισμάτων· οἰκτείρησον, τὸ σὸν πλάσμα Δέσποτα, καὶ καθάρισον σῇ εὐσπλαγχνίᾳ, καὶ τὴν ποθεινὴν πατρίδα παράσχου μοι, Παραδείσου πάλιν ποιῶν πολίτην με.

Εὐλογητὸς εἶ Κύριε...

Ἀνάπαυσον, ὁ Θεὸς τὸν δοῦλόν σου, καὶ κατάταξον αὐτὸν ἐν Παραδείσῳ, ὅπου χοροὶ τῶν Ἁγίων Κύριε καὶ οἱ δίκαιοι ἐκλάμψουσιν ὡς φωστῆρες· τὸν κε-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΗΤΩΡ ΠΑΡ...

www.tezaurliturgic.ro

κοιμημένον δοῦλόν σου ἀνάπαυσον, παρορῶν αὐτοῦ πάντα τὰ ἐγκλήματα. Δόξα.

Τὸ τριλαμπὲς τῆς μιᾶς Θεότητος, εὐσεβῶς ὑμνήσωμεν βοῶντες. Ἅγιος εἶ ὁ Πατὴρ ὁ Ἄναρχος, ὁ συνάναρχος Υἱὸς καὶ θεῖον Πνεῦμα, φώτισον ἡμᾶς πίστει σοι λατρεύοντας, καὶ τοῦ αἰωνίου πυρὸς ἐξάρπασον.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε σεμνή, ἡ Θεὸν σαρκὶ τεκοῦσα, εἰς πάντων σωτηρίαν, δι' ἧς γένος τῶν ἀνθρώπων εὕρατο τὴν σωτηρίαν· διὰ σοῦ εὕροιμεν παράδεισον, Θεοτόκε ἁγνὴ εὐλογημένη.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός. (Τρίς).

Ἔπειτα ψάλλεται τὸ παρὸν ὑπὸ τοῦ α'. χοροῦ. Ἦχος πλ. δ'.

Μετὰ τῶν Ἁγίων ἀνάπαυσον, Χριστὲ ὁ Θεός, τὴν ψυχὴν τοῦ δούλου σου· ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη οὐ στεναγμός· (ὁ β'. χορὸς) ἀλλὰ ζωὴ ἀτελεύτητος.

Ὁ α'. χορὸς τὰ ἰδιόμελα, ἦχος α'.

Ποία τοῦ βίου τρυφὴ διαμένει λύπης ἀμέτοχος; ποία δόξα ἕστηκεν ἐπὶ γῆς ἀμετάθετος; πάντα σκιᾶς ἀσθενέστερα, πάντα ὀνείρων ἀπατηλότερα· μία ῥοπή, καὶ ταῦτα πάντα θάνατος διαδέχεται. Ἀλλ' ἐν τῷ φωτὶ Χριστὲ τοῦ προσώπου σου, καὶ τῷ γλυκασμῷ τῆς σῆς ὡραιότητος, ὃν ἐξελέξω ἀνάπαυσον ὡς φιλάνθρωπος. Ἦχος β'.

Ὡς ἄνθος μαραίνεται καὶ ὡς ὄναρ παρέρχεται, καὶ διαλύεται πᾶς ἄνθρωπος· πάλιν δὲ ἠχούσης τῆς σάλπιγγος, νεκροὶ ὡς ἐν συσσεισμῷ πάντες ἀναστήσονται εἰς τὴν σὴν ὑπάντησιν Χριστὲ ὁ Θεός. Τότε Δέσποτα, ὃν μετέστησας ἐξ ἡμῶν, ἐν ταῖς τῶν Ἁγίων σου κατάταξον σκηναῖς, τὸ πνεῦμα τοῦ σοῦ δούλου Χριστέ.

Ἦχος γ'.

Πάντα ματαιότης τὰ ἀνθρώπινα, ὅσα οὐχ ὑπάρχει



μετὰ θάνατον· οὐ παραμένει ὁ πλοῦτος, οὐ συνοδεύει ἡ δόξα· ἐπελθὼν γὰρ ὁ θάνατος, ταῦτα πάντα ἐξηφάνισται· διὸ Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ βοήσωμεν, τὸν μεταστάντα ἐξ ἡμῶν ἀνάπαυσον, ἔνθα πάντων ἐστίν, εὐφραινομένων ἡ κατοικία.

Ἦχος δ'. Ἔδωκας σημείωσιν.

Ὄντως φοβερώτατον, τὸ τοῦ θανάτου μυστήριον! πῶς ψυχὴ ἐκ τοῦ σώματος, βιαίως χωρίζεται ἐκ τῆς ἁρμονίας καὶ τῆς συμφυΐας ὁ φυσικώτατος δεσμός, θείῳ βουλήματι ἀποτέμνεται· διό σε ἱκετεύομεν, τὸν μεταστάντα ἀνάπαυσον, ἐν σκηναῖς τῶν δικαίων σου, Ζωοδότα φιλάνθρωπε. Ἦχος πλ. α'.

Ἐμνήσθην τοῦ προφήτου βοῶντος. Ἐγώ εἰμι γῆ καὶ σποδός· καὶ πάλιν κατενόησα ἐν τοῖς μνήμασι, καὶ εἶδον τὰ ὀστᾶ τὰ γεγυμνωμένα καὶ εἶπον· ἄρα τίς ἐστί, βασιλεὺς ἢ στρατιώτης, ἢ πλούσιος ἢ πένης, ἢ δίκαιος ἢ ἁμαρτωλός; ἀλλὰ ἀνάπαυσον Κύριε μετὰ δικαίων τὸν δοῦλόν σου. Ἦχος πλ. β'.

Ἀρχή μοι καὶ ὑπόστασις τὸ πλαστουργόν σου γέγονε πρόσταγμα· βουληθεὶς γὰρ ἐξ ἀοράτου τε καὶ ὁρατῆς με ζῶον συμπῆξαι φύσεως, γῆθέν μου τὸ σῶμα διέπλασας, δέδωκας δέ μοι ψυχὴν τῇ θείᾳ σου καὶ ζωοποιῷ ἐμπνεύσει· διὸ Χριστὲ τοὺς δούλους σου ἐν χώρᾳ ζώντων, ἐν σκηναῖς δικαίων ἀνάπαυσον.

Ἦχος βαρύς.

Ἀνάπαυσον Σωτὴρ ἡμῶν Ζωοδότα, ὃν μετέστησας ἀδελφὸν ἡμῶν ἐκ τῶν προσκαίρων, κράζοντα δόξα σοι.

Ἦχος πλ. δ'.

Θρηνῶ καὶ ὀδύρομαι, ὅταν ἐννοήσω τὸν θάνατον, καὶ ἴδω ἐν τοῖς τάφοις κειμένην, τὴν κατ' εἰκόνα Θεοῦ πλασθεῖσαν ἡμῖν ὡραιότητα· ἄμορφον ἄδοξον, μὴ ἔχουσαν εἶδος· ὢ τοῦ θαύματος! τί τὸ περὶ ἡμᾶς τοῦτο γέγονε μυστήριον; πῶς παρεδόθημεν τῇ φθορᾷ, καὶ

www.tezaurliturgic.ro

συνεζεύχθημεν τῷ θανάτῳ· ὄντως Θεοῦ προστάξει ὡς γέγραπται, τοῦ παρέχοντος τῷ μεταστάντι τὴν ἀνάπαυσιν.

Δόξα, ἦχος πλ. δ.

Ὁ θάνατός σου Κύριε ἀθανασίας γέγονε πρόξενος· εἰμὴ γὰρ ἐν μνήματι κατετέθης, οὐκ ἂν ὁ Παράδεισος ἠνέῳκτο· διὸ τὸν μεταστάντα ἀνάπαυσον ὡς φιλάνθρωπος.

Καὶ νῦν, Θεοτοκίον ὁ αὐτός.

Ἁγνὴ Παρθένε τοῦ Λόγου Πύλη τοῦ Θεοῦ ἡμῶν Μήτηρ, ἱκέτευε ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἐν τῇ βασιλείᾳ σου μνήσθητι ἡμῶν Κύριε.

Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν.

Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται.

Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.

Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.

Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται.

Ἦχος πλ. β'. Οἱ ὅσιοί σου παῖδες.

Λῃστὴν τοῦ Παραδείσου Χριστὲ πολίτην, ἐπὶ σταυροῦ σοι βοήσαντα, τό, Μνήσθητί μου, προαπειργάσω· αὐτοῦ τῆς μετανοίας, ἀξίωσον κἀμὲ τὸν ἀνάξιον.

Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.

Ὁ ζωῆς κυριεύων καὶ τοῦ θανάτου ἐν ταῖς αὐλαῖς Ἁγίων ἀνάπαυσον, ὃν προσελάβου ἐκ τῶν προσκαίρων, βοῶντα. Μνήσθητί μου, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται.

Ὁ τῶν ψυχῶν δεσπόζων καὶ τῶν σωμάτων, οὗ ἐν τῇ χειρὶ ἡ πνοὴ ἡμῶν, τῶν θλιβομένων παραμυθία, ἀνάπαυσον ἐν χώρᾳ δικαίων, ὃν μετέστησας δοῦλόν σου.

Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν.

Χριστός σε ἀναπαύσοι ἐν χώρᾳ ζώντων, καὶ πύλας Παραδείσου ἀνοίξοι σοι, καὶ βασιλείας δείξοι πολίτην, καὶ ἄφεσίν σοι δῴη, ὧν ἥμαρτες ἐν βίῳ φιλόχριστε.



Μακάριοι ἐστέ, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι ἕνεκεν ἐμοῦ.

Ἐξέλθωμεν καὶ ἴδωμεν ἐν τοῖς τάφοις, ὅτι γυμνὰ ὀστέα ὁ ἄνθρωπος, σκωλήκων βρῶμα καὶ δυσωδία, καὶ γνῶμεν τίς ὁ πλοῦτος, τὸ κάλλος, ἡ ἰσχὺς καὶ ἡ εὐπρέπεια.

Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς.

Ἀκούσωμεν τί κράζει ὁ Παντοκράτωρ· Οὐαὶ οἱ ἐκζητοῦντες θεάσασθαι, τὴν φοβερὰν ἡμέραν Κυρίου· αὕτη γὰρ ἔσται σκότος· πυρὶ γὰρ δοκιμάσει τὰ σύμπαντα.

Δόξα.

Ἀνάρχῳ καὶ γεννήσει τε καὶ προόδῳ, Πατέρα προσκυνῶ τὸν γεννήσαντα, Υἱὸν δοξάζω τὸν γεννηθέντα, ὑμνῶ τὸ συνεκλάμπον, Πατρί τε καὶ Υἱῷ Πνεῦμα ἅγιον.

Καὶ νῦν. Θεοτοκίον.

Πῶς ἐκ μαζῶν σου γάλα βρύεις Παρθένε; πῶς τρέφεις τὸν τροφέα τῆς κτίσεως; ὡς οἶδεν ὁ πηγάσας ὕδωρ ἐκ πέτρας, τὰς φλέβας τῶν ὑδάτων, διψῶντι τῷ λαῷ, καθὼς γέγραπται.

Προκείμενον Ἦχος β'.

Μακαρία ἡ ὁδὸς ᾗ πορεύῃ σήμερον, ὅτι ἡτοιμάσθη σοι τόπος ἀναπαύσεως. (Τρίς).

Ὁ Ἀπόστολος.

Πρὸς Θεσσαλονικεῖς α'. ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα· εἰ γὰρ πιστεύομεν ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτω καὶ Θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ. Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας· ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι ἐν φωνῇ Ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται

www.tezaurliturgic.ro

πρῶτον. Ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα· καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα.

Ἀλληλούϊα, τρίς· καὶ ὁ Ἀρχιερεὺς τὸ Εὐαγγέλιον.

*Ἐκ τοῦ κατὰ Ἰωάννην Ἁγίου Εὐαγγελίου τὸ Ἀνάγνωσμα.*

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ τὸν λόγον μου ἀκούων καὶ πιστεύων τῷ πεμψαντί με ἔχει ζωὴν αἰώνιον, καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ἔρχεται ὥρα καὶ νῦν ἐστίν, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ οἱ ἀκούσαντες ζήσονται. Ὥσπερ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ. Καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστί. Μὴ θαυμάζετε τοῦτο· ὅτι ἔρχεται ὥρα, ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ, καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως. Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ᾿ ἐμαυτοῦ οὐδέν· καθὼς ἀκούω κρίνω, καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστί· ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός.

Ὁ Διάκονος; Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα...
Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως. κτλ.
καὶ μετὰ τὴν συμπλήρωσιν τούτων λέγει ὁ Διάκονος,
Τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὁ Ἀρχιερεὺς τὴν παροῦσαν συγχωρητικὴν εὐχήν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῇ σῇ ἀρρήτῳ σοφίᾳ δημιουργήσας τὸν ἄνθρωπον ἐκ τοῦ χοός, καὶ τοῦτον ἀναμορφώσας εἰς εἶδος καὶ κάλλος καὶ ἐξωραΐσας ὡς τίμιον καὶ οὐράνιον κτῆμα, εἰς δοξολογίαν καὶ εὐπρέπειαν τῆς



τῆς δόξης καὶ βασιλείας, διὰ τὸ κατ᾿ εἰκόνα καὶ καθ᾿ ὁμοίωσιν τοῦτον παραγαγεῖν. τὴν ἐντολὴν δὲ παραβάντα τοῦ σοῦ προστάγματος, καὶ μεταβαλόντα τῆς εἰκόνος καὶ μὴ φυλάξαντα, καὶ διὰ τοῦτο, ἵνα μὴ τὸ κακὸν ἀθάνατον γένηται, φιλανθρώπως κελεύσας τὴν κρᾶσιν καὶ μῖξιν ταύτην, καὶ τὸν ἄρρηκτόν σου τοῦτον δεσμόν, ὡς Θεὸς τῶν πατέρων ἡμῶν τῷ θείῳ βουλήματι ἀποτέμνεσθαι καὶ διαλύεσθαι· ὥστε τὴν μὲν ψυχὴν ἐκεῖσε χωρεῖν ἔνθα καὶ τὸ εἶναι προσελάβετο, μέχρι τῆς κοινῆς ἀναστάσεως, τὸ δὲ σῶμα εἰς τὰ ἐξ ὧν συνετέθη ἀναλύεσθαι. Διὰ τοῦτο δεόμεθα Σοῦ τοῦ ἀνάρχου Πατρός, τοῦ μονογενοῦς σου Υἱοῦ καὶ τοῦ Παναγίου καὶ ὁμοουσίου καὶ ζωοποιοῦ σου Πνεύματος, ἵνα μὴ παρίδῃς τὸ σὸν πλάσμα καταποθῆναι τῇ ἀπωλείᾳ· ἀλλὰ τὸ μὲν σῶμα διαλυθῆναι εἰς τὰ ἐξ ὧν συνετέθη, τὴν δὲ ψυχὴν καταταγῆναι ἐν τῷ χορῷ τῶν δικαίων. Ναί, Κύριε ὁ Θεὸς ἡμῶν, νικησάτω σου τὸ ἄμετρον ἔλεος, καὶ ἡ φιλανθρωπία ἡ ἀνείκαστος, καὶ εἴτε ὑπὸ κατάραν πατρὸς ἢ μητρός, εἴτε τῷ ἰδίῳ ἀναθέματι ὑπέπεσεν ὁ δοῦλός σου οὗτος, εἴτε τινὰ τῶν ἱερωμένων παρεπίκρανε, καὶ παρ᾿ αὐτοῦ δεσμὸν ἄλυτον ἐδέξατο, εἴτε ὑπὸ Ἀρχιερέως βαρυτάτῳ ἀφορισμῷ περιέπεσε, καὶ ἀμελείᾳ καὶ ῥαθυμίᾳ χρησάμενος, οὐκ ἔτυχε συγχωρήσεως, συγχώρησον αὐτῷ δι᾿ ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου, καὶ τὸ μὲν σῶμα αὐτοῦ εἰς τὰ ἐξ ὧν συνετέθη διάλυσον, τὴν δὲ ψυχὴν αὐτοῦ ἐν σκηναῖς ἁγίων κατάταξον. Ναί, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τοῖς ἁγίοις σου μαθηταῖς καὶ ἀποστόλοις τὴν ἐξουσίαν δοὺς ταύτην, ὥστε τῶν ἁμαρτημάτων διδόναι τὴν ἄφεσιν καὶ εἰπών. Ὅσα ἂν δήσητε καὶ λύσητε, ἵνα ὦσι δεδεμένα καὶ λελυμένα· δι᾿ αὐτῶν δὲ καὶ εἰς ἡμᾶς, εἰ καὶ ἀναξίους, ὡσαύτως τὴν τηλικαύτην δωρεὰν φιλανθρώπως διαβιβάσας, λῦσον τὸν κοιμηθέντα δοῦλόν σου (δεῖνα) τοῦ ψυχικοῦ καὶ σωματικοῦ ἁμαρτήματος, καὶ ἔστω συγκεχωρημένος καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι· πρεσβείαις τῆς Παναχράντου σου Μητρὸς καὶ πάντων σου τῶν Ἁγίων. Ἀμήν.

Ὁ Διάκονος, Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Ἀρχιερεύς, Ὅτι σὺ εἶ ἡ ἀνάστασις... τὸ ὁποῖον ἐπαναλαμβάνουν ὅλοι οἱ Ἱερεῖς. Καὶ ἀπόλυσις.

www.tezaurliturgic.ro

Ἔπειτα γίνεται ὁ ἀσπασμὸς τοῦ λειψάνου καὶ ψάλλομεν τὰ παρόντα στιχηρὰ προσόμοια.

*Ἦχος β'.* Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Δεῦτε τελευταῖον ἀσπασμόν, δῶμεν ἀδελφοὶ τῷ θανόντι, εὐχαριστοῦντες Θεῷ, οὗτος γὰρ ἐξέλιπε τῆς συγγενείας αὐτοῦ, καὶ πρὸς τάφον ἐπείγεται, οὐκέτι φροντίζων, τὰ τῆς ματαιότητος, καὶ πολυμόχθου σαρκός· ποῦ νῦν συγγενεῖς τε καὶ φίλοι; ἄρτι χωριζόμεθα, ὅνπερ ἀναπαῦσαι Κύριος εὐξώμεθα.

Ποῖος χωρισμός, ὢ ἀδελφοί; ποῖος κοπετός, ποῖος θρῆνος, ἐν τῇ παρούσῃ ῥοπῇ; δεῦτε οὖν ἀσπάσασθε, τὸν πρὸ μικροῦ μεθ' ἡμῶν· παραδίδοται τάφῳ γάρ, καλύπτεται λίθῳ, σκότει κατοικίζεται, νεκροῖς συνθάπτεται· πάντες συγγενεῖς τε καὶ φίλοι, ἄρτι χωριζόμεθα, ὅνπερ ἀναπαῦσαι Κύριος εὐξώμεθα.

Ἄρτι ἡ τοῦ βίου πονηρά, λύεται πανήγυρις πᾶσα, τῆς ματαιότητος· πνεῦμα γὰρ ἐξέλιπεν ἀπὸ σκηνώματος· ὁ πηλὸς μεμελάνωται, τὸ σκεῦος ἐρράγη, ἄφωνον ἀναίσθητον, νεκρὸν ἀκίνητον· ὅνπερ παραπέμποντες τάφῳ, Κύριον εὐξώμεθα δοῦναι, εἰς αἰῶνας τούτῳ τὴν ἀνάπαυσιν.

Οἵα ἡ ζωὴ ἡμῶν ἐστίν, ἄνθος καὶ ἀτμίς τε καὶ δρόσος ἑωθινὴ ἀληθῶς· δεῦτε οὖν κατίδωμεν ἐπὶ τοὺς τάφους τρανῶς· ποῦ τὸ κάλλος τοῦ σώματος; καὶ ποῦ ἡ νεότης; ποῦ εἰσὶ τὰ ὄμματα καὶ ἡ μορφὴ τῆς σαρκός; πάντα ἐξηράνθη ὡς χόρτος· πάντα ἠφανίσθησαν· δεῦτε, τῷ Χριστῷ προσπέσωμεν ἐν δάκρυσι.

Μέγας ὁ κλαυθμὸς καὶ ὀδυρμός, μέγας στεναγμὸς καὶ ἀνάγκη, ὁ χωρισμὸς τῆς ψυχῆς· Ἅδης καὶ ἀπώλεια ἡ τῶν προσκαίρων ζωή, ἡ σκιὰ ἡ ἀνύπαρκτος, ὁ ὕπνος τῆς πλάνης, ὁ ἀκαιροφάνταστος μόχθος τοῦ βίου τῆς γῆς· πόρρω ἐκφευξώμεθα κόσμου, ἅπαν τὸ ἁμάρτημα, ἵνα τὰ οὐράνια κληρονομήσωμεν.



Βλέποντες προκείμενον νεκρόν, λόγον ἀναλάβωμεν πάντες, τῆς τελευταίας ῥοπῆς· οὗτος γὰρ παράγεται, ὥσπερ καπνὸς ἀπὸ γῆς· ὡσεὶ ἄνθος ἐξήνθησεν, ὡς χόρτος ἐτμήθη, ῥάκει σπαργανούμενος, γῇ καλυπτόμενος· ὅνπερ ἀφανῆ λελοιπότες, τῷ Χριστῷ εὐξώμεθα δοῦναι, εἰς αἰῶνας τούτῳ τὴν ἀνάπαυσιν.

Δεῦτε οἱ ἀπόγονοι Ἀδάμ, ἴδωμεν εἰς γῆν βεβλημένον, τὸν κατ' εἰκόνα ἡμῶν, ὅλην τὴν εὐπρέπειαν ἀποβαλόμενον, λελυμένον ἐν μνήματι, σαπρίᾳ σκωλήκων, σκότει δαπανώμενον, γῇ καλυπτόμενον, ὅνπερ ἀφανῆ λελοιπότες, τῷ Χριστῷ εὐξώμεθα δοῦναι, εἰς αἰῶνας τούτῳ τὴν ἀνάπαυσιν.

Ὅτε ἐκ τοῦ σώματος ψυχή, μέλλει μετὰ βίας ἁρπᾶσθαι ὑπὸ ἀγγέλων φρικτῶν, πάντων ἐπιλάθεται τῶν συγγενῶν καὶ γνωστῶν, καὶ φροντίζει τὰ μέλλοντα, κριτήρια στῆναι, τὰ τῆς ματαιότητος καὶ πολυμόχθου σαρκός. Δεῦτε τὸν Κριτὴν δυσωποῦντες, πάντες ἐπευξώμεθα, ἵνα συγχωρήσῃ Κύριος, ἃ ἔπραξε.

Δεῦτε ἐν τῷ τάφῳ ἀδελφοί, βλέψωμεν τὴν τέφραν καὶ κόνιν, ἐξ ἧς ἐπλάσθημεν· ποῦ νῦν πορευόμεθα; τί δὲ γεγόναμεν; ποῖος πένης ἢ πλούσιος; ἢ ποῖος δεσπότης; ποῖος δὲ ἐλεύθερος καὶ οὐχὶ πάντες σποδός; κάλλος τοῦ προσώπου ἐσάπη, καὶ τὸ τῆς νεότητος ἅπαν, ἄνθος κατεμάρανεν ὁ θάνατος.

Ὄντως ματαιότης καὶ φθορά, πάντα τὰ τοῦ βίου ἡδέα καὶ τὰ περίδοξα! πάντες γὰρ ἐκλείπομεν, πάντες θνῄξόμεθα, βασιλεῖς τε καὶ ἄρχοντες, κριταὶ καὶ δυνάσται, πλούσιοι καὶ πένητες, καὶ πᾶσα φύσις βροτῶν· νῦν γάρ, οἱ ποτὲ ἐν τῷ βίῳ, τάφοις καταβέβληνται, οὕσπερ, ἀναπαῦσαι Κύριος εὐξώμεθα.

Πάντα τὰ τοῦ σώματος νυνί, ὄργανα ἀργὰ θεωροῦνται, τὰ πρὸ μικροῦ κινητά· πάντα ἀνενέργητα, νεκρά, ἀναίσθητα· ὀφθαλμοὶ γὰρ κατέδυσαν, ἐδέθησαν

www.tezaurliturgic.ro

πόδες, χεῖρες ἡσυχάζουσι, καὶ ἀκοὴ σὺν αὐτοῖς, γλῶσσα τῇ σιγῇ συνεκλείσθη, τάφῳ παραδίδοται· ὄντως ματαιότης πάντα τὰ ἀνθρώπινα. **Θεοτοκίον.**

Σῶζε τοὺς ἐλπίζοντας εἰς σέ, Μῆτερ τοῦ ἀδύτου Ἡλίου θεογεννήτρια· αἴτησαι πρεσβείαις σου τὸν ὑπεράγαθον, ἀναπαῦσαι δεόμεθα, τὸν νῦν μεταστάντα, ἔνθα ἀναπαύονται αἱ τῶν δικαίων ψυχαί· θείων ἀγαθῶν κληρονόμον, δεῖξον ἐν αὐλαῖς τῶν δικαίων, εἰς μνημόσυνον πανάμωμε αἰώνιον.

**Δόξα, ἦχος πλ. β'.**

Ὁρῶντές με ἄφωνον καὶ ἄπνουν προκείμενον, κλαύσατε πάντες ἐπ' ἐμοί, ἀδελφοὶ καὶ φίλοι, συγγενεῖς καὶ γνωστοί· τὴν γὰρ χθὲς ἡμέραν μεθ' ὑμῶν ἐλάλουν, καὶ ἄφνω ἐπῆλθέ μοι ἡ φοβερὰ ὥρα τοῦ θανάτου. Ἀλλὰ δεῦτε πάντες οἱ ποθοῦμενοί με, καὶ ἀσπάσασθέ με τὸν τελευταῖον ἀσπασμόν· οὐκέτι γὰρ μεθ' ὑμῶν πορεύσομαι, ἢ συλλαλήσω τοῦ λοιποῦ· εἰς Κριτὴν γὰρ ἀπέρχομαι, ἔνθα προσωποληψία οὐκ ἔστι· δοῦλος γὰρ καὶ δεσπότης ὁμοῦ παρίστανται, βασιλεὺς καὶ στρατιώτης, πλούσιος καὶ πένης ἐν ἀξιώματι ἴσῳ· ἕκαστος γὰρ ἐκ τῶν ἰδίων ἔργων ἢ δοξασθήσεται ἢ αἰσχυνθήσεται. Ἀλλ' αἰτῶ πάντας καὶ δυσωπῶ, ἀδιαλείπτως ὑπὲρ ἐμοῦ προσεύξασθαι Χριστῷ τῷ Θεῷ, ἵνα μὴ καταταγῶ διὰ τὰς ἁμαρτίας μου εἰς τὸν τόπον τῆς βασάνου, ἀλλ' ἵνα με κατατάξῃ, ὅπου τὸ φῶς τῆς ζωῆς.

**Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.**

Πρεσβείαις τῆς τεκούσης σε, Χριστὲ καὶ τοῦ Προδρόμου σου, Ἀποστόλων Προφητῶν, Ἱεραρχῶν, Ὁσίων καὶ Δικαίων, καὶ πάντων τῶν Ἁγίων, τὸν κοιμηθέντα δοῦλόν σου ἀνάπαυσον. **Εἶτα**

Αἰωνία σου ἡ μνήμη ἀξιομακάριστε καὶ ἀείμνηστε ἀδελφὲ ἡμῶν. (ἐκ γ'.)

Καὶ οὕτως ἄραντες τὸ λείψανον ἀπερχόμεθα εἰς τὸν τάφον, ψαλλομένου τοῦ, Θρηνῶ καὶ ὀδύρομαι. Ἀφοῦ δὲ φθάσωμεν, ποιεῖ ὁ Ἱερεύς, Εὐλογητόν, τὸ Τρισάγιον, Ὅτι σοῦ· καὶ τὰ τροπάρια. Μετὰ πνευμάτων ... κτλ.

Εἶτα ὁ Διάκονος αἴτησιν, ὁ Ἱερεὺς τὴν εὐχήν· καὶ ἀφοῦ τεθῇ ὁ νεκρὸς ἐν τῷ τάφῳ, ἐγχέει ὁ Ἱερεὺς ὀλίγον οἶνον, λέγων·



«Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς». Εἶτα ἄρας χοῦν μετὰ τοῦ πτύου, ἐπιρρίπτει ἐπὶ τοῦ λειψάνου, λέγων.

«Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ». Καὶ ἀπόλυσις. Ἔπειτα τό, Αἰωνία σου ἡ μνήμη .... (Τρίς).

Σημ. Ἰστέον δέ, ὅτι αὕτη ἡ τάξις ψάλλεται εἰς ἅπαντας τοὺς κοιμηθέντας· εἰς Βασιλεῖς, εἰς Πατριάρχας, εἰς Ἀρχιερεῖς καὶ Ἱερεῖς, εἰς ἄνδρας καὶ γυναῖκας, μικρούς τε καὶ μεγάλους.

«Πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ.»
(Παύλ. ἐπιστ. β'. Κορινθ. Κεφ. γ'.)

Σημ. Ἐὰν τύχῃ κηδεία κατὰ τὴν Διακαινήσιμον ἑβδομάδα, ψάλλεται, Χριστὸς ἀνέστη, μέχρι τοῦ ναοῦ· καὶ μετὰ τό, Εὐλογητὸς ὁ Θεός, ψάλλει ὁ Ἀρχιερεύς, Χριστὸς ἀνέστη, ἅπαξ, καὶ οἱ δύο χοροὶ ἀνὰ μίαν· εἶτα ψάλλεται ὁ Ἀναστάσιμος κανών· μετὰ τὴν α'. ᾠδήν, ἡ Καταβασία, Ἀναστάσεως ἡμέρα, Χριστὸς ἀνέστη, ἐκ γ'. καὶ Ἀναστὰς ὁ Ἰησοῦς· ὁ Διάκονος, Τοῦ Κυρίου δεηθῶμεν, ὁ Ἀρχιερεύς, Ὅτι σὺ εἶ ἡ Ἀνάστασις ... καὶ οὕτω εἰς τὸ τέλος ἑκάστης ᾠδῆς, γίνεται αἴτησις· μετὰ δὲ τὴν θ'. ψάλλεται τό, Σαρκὶ ὑπνώσας, δίς· ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον τῶν κεκοιμημένων. Εἶτα ὁ Διάκονος. Ἐλέησον ἡμᾶς ὁ Θεὸς κτλ. καὶ ὁ Ἀρχιερεὺς τὴν συγχωρητικὴν εὐχήν, καὶ ἀπόλυσις. Εἰς τὸν ἀσπασμὸν δὲ τοῦ λειψάνου, καθὼς καὶ ὅταν ἀπερχώμεθα εἰς τὸν τάφον, ψάλλεται τὸ Δοξαστικόν, Ἀναστάσεως ἡμέρα.

Ἀπὸ δὲ τῆς Κυριακῆς τοῦ Θωμᾶ μέχρι τῆς ἀποδόσεως τοῦ Πάσχα, ἀντὶ τοῦ, Ἅγιος ὁ Θεός, ψάλλεται καθ' ὁδὸν τό, Χριστὸς ἀνέστη· καὶ μετὰ τό, Εὐλογητὸς ὁ Θεός, ψάλλεται ἐν τῇ Ἐκκλησίᾳ ἐκ γ'. τὸ Χριστὸς ἀνέστη, καὶ ἔπειτα ἡ Νεκρώσιμος Ἀκολουθία, κατὰ τὴν τάξιν.

# ΕΥΧΗ
## ΤΟΥ ΑΓΙΟΥ ΜΟΔΕΣΤΟΥ
### ΠΑΤΡΙΑΡΧΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ.

**Λεγομένη εἰς πᾶσαν θανατηφόρον ἀσθένειαν καὶ βλάβην Βοῶν, Ἵππων, Ὄνων, Ἡμιόνων, Προβάτων, Αἰγῶν, Μελισσῶν, καὶ τῶν λοιπῶν ζώων.**

*Τοῦ Κυρίου δεηθῶμεν.*

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός μου, ὁ ἐλεήμων καὶ Πανάγαθος, ὁ πᾶσαν τὴν νοητὴν καὶ αἰσθητὴν Κτίσιν ἐν Σοφίᾳ δημιουργήσας, ὁ τοὺς οἰκτιρμούς σου ἐκχέων ἐπὶ πάντα τὰ ὑπὸ σοῦ δημιουργηθέντα· ὁ διὰ τῆς παναγάθου προνοίας σου πάντων προνοῶν καὶ πάντων κηδόμενος τῶν κτισμάτων σου, ἀΰλων, ὑλικῶν, λογι-

www.tezaurliturgic.ro

κῶν, ἀλόγων, ἐμψύχων, ἀψύχων, ἀπὸ τῶν πρώτων ἕως τῶν ἐσχάτων. Οὐδὲν γὰρ ἀπρονόητον, οὐδὲ ἠμελημένον παρὰ σοὶ τῷ Ποιητῇ καὶ προνοητῇ τοῦ παντός. Σὺ γὰρ εἶ, ὁ ἀνοίγων τὴν χεῖρά σου, καὶ ἐμπιπλῶν πᾶν ζῶον εὐδοκίας. Σὺ εἶ, ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι καὶ χλόην, ἕνεκα τῆς δουλείας τῶν ἀνθρώπων. Σὺ εἶ, ὁ πάλαι τὰς τῶν ζώων ἀγέλας τοῦ Ἰσραὴλ, ἀνωτέρας διαφυλάξας τῆς θανατηφόρου πληγῆς τῶν πρωτοτόκων ζώων τῶν Αἰγυπτίων. Σὺ εἶ, ὁ διὰ τῆς ἐνσάρκου σου οἰκονομίας, καταργήσας τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν Διάβολον, καὶ τῷ θανάτῳ σου θανατώσας τὸν θάνατον. Σὺ εἶ, ὁ καὶ δι' ἐμοῦ τοῦ ἀναξίου δούλου σου, τὸν μὲν ὄφιν θανατώσας, τὸν τὴν πηγὴν τοῦ ὕδατος τῷ ἑαυτοῦ ἰῷ διαφθείραντα, τὰ δὲ ἐξ αὐτῆς πιόντα ζῶα καὶ νεκρωθέντα, τῇ ζωοποιῷ δυνάμει σου ἀναστήσας, τὸν δὲ εἰς τοῦτο συνεργήσαντα δαίμονα, ἐμφανῆ γενέσθαι παρασκευάσας, ὀμνύοντα, μηδέποτε προσεγγίσαι τολμῆσαι, ὅπου ἀεὶ ἐπικληθείη τὸ ταπεινὸν ἐμοῦ ὄνομα. Σοῦ τοίνυν δέομαι, Δέσποτα Πανάγαθε καὶ Ποιητὰ τοῦ παντὸς, καὶ Σὲ ἱκετεύω τὸν τῆς ζωῆς πάσης αἴτιον, ἐπάκουσον ταύτης μου τῆς δεήσεως, καὶ ἀπέλασον πᾶσαν θανατηφόρον ἀσθένειαν καὶ βλάβην ἀπὸ τῶν Βοῶν, Ἵππων, Ὄνων, Ἡμιόνων, Προβάτων, Αἰγῶν, Μελισσῶν καὶ τῶν λοιπῶν ζώων τῶν εἰς χρείαν ὄντων τῆς ζωῆς τῶν δούλων σου, τῶν ἐπικαλουμένων σὲ τὸν δοτῆρα πάντων τῶν ἀγαθῶν, καὶ τὸ ἐμὸν ὄνομα. Καὶ δὸς Κύριε, πᾶσι τοῖς τὴν ἐμὴν μνήμην ἐπιτελοῦσι, καὶ μετὰ πίστεως προστρέχουσι τοῖς λειψάνοις μου, εἰρήνην σταθεράν, πληθυσμὸν ζώων, ἀφθονίαν σίτου, οἴνου καὶ ἐλαίου· καὶ ἐπὶ πᾶσιν, ἄφεσιν ἁμαρτιῶν, σωμάτων ὑγείαν, καὶ τὴν τῶν ψυχῶν αἰώνιον σωτηρίαν. Ναὶ, Κύριε Ἰησοῦ Χριστέ, τοῖς ἰδίοις σπλάγχνοις ἐπικαμπτόμενος, οἴκτειρον τὰ πάσχοντα ζῶα, τῇ δρεπάνῃ τοῦ θανάτου ἀγεληδὸν θεριζόμενα· καὶ ὡς λόγον μὴ ἔχοντα, μόνον τοῖς μυκηθμοῖς, καὶ ταῖς γοεραῖς καὶ ἀνάρθροις φωναῖς, τὸ πάθος καὶ τὴν ὀδύνην αὐτῶν ἐλεεινῶς ἐξαγγέλλοντα, ὥστε καὶ τοὺς λογικοὺς εἰς συμπάθειαν τούτων ἕλκεσθαι. «Εἰ γὰρ δίκαιος οἰκτείρει ψυχὰς κτηνῶν αὐτοῦ,» κατὰ τὸ γεγραμμένον, πῶς οὐκ οἰκτειρήσεις ταῦτα Σὺ,



ὁ τούτων ποιητὴς καὶ προνοητής; Σὺ γὰρ εὔσπλαγχνε, καὶ τῶν ἐν τῇ Κιβωτῷ ζώων ἐμνήσθης, ὑπὸ τῆς οἰκείας χρηστότητος καὶ τῶν οἰκτιρμῶν σου νικώμενος, ἵνα διὰ τῆς εὐεξίας καὶ τοῦ πληθυσμοῦ τῶν βοῶν, καὶ τῶν λοιπῶν τετραπόδων ζώων, καλλιεργῆται μὲν ἡ γῆ, αὐξάνωσι δὲ οἱ καρποί, καὶ ἀφθόνως οἱ δοῦλοί σου οἱ ἐπικεκλημένοι τὸ ὄνομά σου, ἀπολαύωσι τῶν ἰδίων γεωργιῶν. Ἐκ τούτων δέ, πᾶσαν αὐτάρκειαν ἔχοντες, περισσεύωσιν εἰς πᾶν ἔργον ἀγαθόν· καὶ δοξάζωσι μὲν Σὲ τὸν χορηγὸν παντὸς ἀγαθοῦ, τιμῶσι δὲ κἀμὲ τὸν σὸν δοῦλον καὶ ἱκέτην θερμότατον τῆς Παντοκρατορικῆς Βασιλείας Σου. Ὧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ Παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

## ΕΥΧΗ ΙΚΕΤΗΡΙΟΣ
# ΠΡΟΣ ΤΟΝ ΑΓΙΟΝ ΤΡΥΦΩΝΑ.

**ἐὰν συμβῇ βλάπτεσθαι ἀγρούς, κήπους, ἀμπελῶνας καὶ δένδρα ὑπὸ ἑρπετῶν, ἀκρίδων καὶ ζωϋφίων.**

Σημ. Πρῶτον γινέσθω ἡ τάξις ἡ διωριζομένη ἐν τῷ Εὐχολογίῳ, καὶ λεγέσθω ὑπὸ τοῦ Ἱερέως ἡ ἐκεῖ γεγραμμένη εὐχή. Εἶτα καὶ ἡ παροῦσα μετ' εὐλαβείας πίστεώς τε καὶ κατανύξεως.

*Τοῦ Κυρίου δεηθῶμεν.*

Πανένδοξε μάρτυς τοῦ Χριστοῦ, καὶ στρατιῶτα τοῦ ἐπουρανίου Βασιλέως, Τρύφων παμμακάριστε, τῆς ἀκηράτου τρυφῆς ὁ ἐπώνυμος· ὁ γενναίως τὸν Χριστὸν ἐπὶ τῆς γῆς ὁμολογήσας, καὶ διὰ τοῦτο νῦν ἐν οὐρανοῖς τῆς ἀϊδίου ἀπολαύων μακαριότητος, μετὰ παρρησίας τῷ θρόνῳ τῆς Τρισηλίου Θεότητος παριστάμενος. Σοῦ τῇ μαρτυρικῇ μεγαλειότητι προστρέχομεν μετὰ Θεόν, πάντες ἡμεῖς οἱ ἁμαρτωλοὶ καὶ ἀνάξιοι δοῦλοί σου, καὶ ἱκετεύομεν τὴν συμπαθεστάτην καὶ χριστομίμητόν σου φιλανθρωπίαν, ἵνα, σπλαγχνισθεὶς ἐφ' ἡμᾶς τοὺς ἐν ἀνάγκῃ ὄντας καὶ περιστάσει, ἀποδιώξῃς μακρὰν τῶν ἀγρῶν, κήπων, ἀμπελώνων καὶ δένδρων ἡμῶν, πάντα τὰ ἑρπετά, καὶ ἀκρίδας, καὶ κάμπας, καὶ πολυειδῆ ζωΰφια, τὰ βλάπτοντα τοὺς καρπούς, καὶ φύλλα, καὶ ῥίζας τῶν δένδρων, καὶ πάντων τῶν λαχάνων τε καὶ γεννημάτων

ΑΝΑΓΝΩΣΤΗΡΙΟΝ ... ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑ...

www.tezaurliturgic.ro

καὶ ὀσπρίων ἡμῶν. Σὺ γὰρ ἐξαίρετον καὶ ἰδιαιτέραν εἰληφὰς τὴν χάριν ταύτην πολύαθλε, παρὰ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· οὐ μόνον πρώην ἔτι ζῶν, διὰ τὴν θεάρεστον πολιτείαν σου, ἀλλὰ πολλῷ μᾶλλον νῦν μετὰ θάνατον, διὰ τὸ μαρτυρικὸν καὶ δι' αἵματος τέλος, ὃ ὑπὲρ τῆς αὐτοῦ ὁμολογίας καὶ πίστεως ὑπέμεινας. Ναί· ὁμολογοῦμεν, ὅτι διὰ τὰς ἁμαρτίας ἡμῶν, ταύταις ταῖς συμφοραῖς παρεδόθημεν, καὶ τῇ τοῦ Θεοῦ ὀργῇ ὑπεπέσομεν· ἀλλὰ σὺ γενναῖε ἀθλητά, εἰ μόνον θελήσεις τῇ μαρτυρικῇ σου παρρησίᾳ χρήσασθαι, πιστεύομεν ὅτι ῥᾳδίως κατασβέσεις τὴν καθ' ἡμῶν ἐξαφθεῖσαν ταύτην τοῦ Θεοῦ ἀγανάκτησιν, καὶ τὴν ἀθυμίαν ἡμῶν εἰς εὐθυμίαν μεταποιήσεις. Ὅθεν ἐπειδὴ διὰ τὸ πλῆθος τῶν ἁμαρτιῶν ἡμῶν, οὐκ ἔχομεν παρρησίαν στῆναι ἐνώπιον τῆς ἀθλοφορικῆς σου δόξης, καὶ ἀμέσως τὴν ἱκεσίαν ποιήσασθαι, διὰ τοῦτο μεσίτην ἀνθ' ἡμῶν σοὶ προβαλλόμεθα, αὐτό σου τὸ αἷμα, ὃ ὑπὲρ Χριστοῦ ἐξέχεας, Πανεύφημε, καὶ αὐτὰ τὰ μαρτυρικὰ ἀγωνίσματα, ἅπερ ὑπήνεγκας ἐν τῷ ἀθλητικωτάτῳ σου σώματι. Ἐπιδὲ τοίνυν, εὐσπλαγχνικώτατε Μάρτυς, ἐπ' αὐτά, δι' ὧν τὸν Χριστὸν ὡμολόγησας καὶ τὸν ἀμάραντον τοῦ μαρτυρίου ἔλαβες στέφανον· ἐπάκουσαν τῆς δεήσεως ἡμῶν τῶν ταπεινῶν ἱκετῶν σου, καὶ τῆς ἐνεστώσης ἀνάγκης τῶν ἑρπετῶν, ἀκρίδων, καὶ πολυειδῶν ζωϋφίων, τῶν λυμαινομένων τοὺς καρποὺς τῶν ἀγρῶν, ἀμπελώνων, κήπων καὶ δένδρων ἡμῶν ἀπολύτρωσαι· ὅτι κινδυνεύομεν ὑπ' αὐτῶν λιμῷ καὶ θανάτῳ, καὶ παντελεῖ παραδοθῆναι ἀφανισμῷ, ἡμεῖς τε, καὶ πᾶσα ἡ ὕπαρξις ἡμῶν, ἐὰν μὴ οἱ οἰκτιρμοί σου ταχέως ἡμᾶς προκαταλάβωσιν· ἵνα διὰ τῆς σῆς ὀξείας προστασίας, τοῦ ἐπικειμένου κινδύνου ἀπαλλαγέντες, ἀκαταπαύστως καὶ χρεωστικῶς, τὸ σὸν μεγαλύνωμεν ὄνομα, σωτῆρα ἡμῶν καὶ εὐεργέτην καὶ ἀντιλήπτορα μετὰ Θεὸν σὲ ἐπιγραφόμενοι· καὶ διὰ σοῦ δοξάζωμεν τὸν κοινὸν Δεσπότην, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν ἐν γῇ καὶ οὐρανῷ σὲ δοξάσαντα. Ὧ πρέπει πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, σὺν τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

**ΤΕΛΟΣ.**



# ΠΑΡΑΡΤΗΜΑ

---

## Ἀπολυτίκιον δεύτερον τῶν 4 Ἱεραρχῶν.

Δόξα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Πατέρων ἡ τετράφωτος λαμπὰς ἀνέλαμψε, Κρητῶν τὰ συστήματα καταφαιδρύνουσα ἀεί, πρὸς θείαν ἐπίγνωσιν, λύουσα τῶν ἀθέων τὴν ἀσέβειαν πᾶσαν, δόγμασι καὶ σοφίᾳ καταισχύνουσα ἅμα, Τίτος, Ἀνδρέας Εὐμένιος ὁμοῦ, καὶ Κύριλλος ὁ ἔνδοξος.

Καὶ νῦν. Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον.

## Ἕτερα, ἑκάστου Ἱεράρχου.

Τοῦ Τίτου ἦχος δ'. Ταχὺ προκατάλαβε.

Τῇ θείᾳ λαμπρότητι καταυγαζόμενος, τὸ σκότος ἐδίωξας τῶν ψυχοφθόρων παθῶν, Τίτε Ἀπόστολε, ἤρθης πρὸς ἀπαθείας καθαρώτατον ὕψος, ἔπλησας Κρήτην πᾶσαν, τῶν δογμάτων σου Τίτε, σκηνώσας εἰς ἄδυτον φῶς, τῆς βασιλείας Χριστοῦ.

Τοῦ Ἀνδρέου ἦχος πλ. δ'.

Ὀρθοδοξίας ὁ φωστήρ, Ἐκκλησίας τὸ στήριγμα καὶ διδάσκαλε, Ἱεραρχῶν ἡ καλλονή, τῶν θεολόγων ὑπέρμαχος ἀπροσμάχητος, Ἀνδρέα σοφέ, Κρήτης τὸ καύχημα, κῆρυξ τῆς χάριτος, ἱκέτευε διὰ παντός, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τοῦ Κυρίλλου ἦχος δ'. Ταχὺ προκατάλαβε.

Τοῖς λόγοις ἐκόσμησας τὴν Ἐκκλησίαν Χριστοῦ, τοῖς ἔργοις ἐτήρησας τὸ κατ' εἰκόνα Θεοῦ, Θεόσοφε Κύριλλε· ἔλαμψε γὰρ ἐν Κρήτῃ ἡ ἐν σοὶ μαρτυρία, χάριτας διδαγμάτων, ἀπαστράπτουσα πᾶσι, τοῖς πίστει ἑορτάζουσι, Πάτερ τὴν μνήμην σου.

Τοῦ Εὐμενίου ὁ αὐτός.

Τὴν πλάνην κατέφλεξας, τῶν κακοδόξων σοφέ, τὴν πίστιν ἐτράνωσας, τῶν ὀρθοδόξων καλῶς, Εὐμένιε

www.tezaurliturgic.ro

Θεόσοφε· ὅθεν τροπαιοφόρος νικητὴς ἀνεδείχθης, στύλος τῆς Ἐκκλησίας, καὶ τῆς Κρήτης προστάτης, πρεσβεύων μὴ ἐλλείπῃς Χριστῷ, σωθῆναι πάντας ἡμᾶς.

*Τῇ 11 Νοεμβρίου, Ἀπολυτίκιον τοῦ Ἁγίου ἐνδόξου μεγαλομάρτυρος Μηνᾶ τοῦ τροπαιοφόρου καὶ θαυματουργοῦ.*

*Ἦχος δ'.* Ταχὺ προκατάλαβε.

Ἀστὴρ ἀνατέταλκας ἀπὸ δυσμῶν ἀθλητὰ, καὶ πᾶσαν ἐφώτισας τὴν οἰκουμένην αὐγαῖς, Μηνᾶ παναοίδιμε· ὅθεν καὶ τῶν θαυμάτων εἰληφὼς θείαν χάριν, ἔλαμψας ἐν τῷ κόσμῳ τῇ ἐν σοὶ μαρτυρίᾳ, χάριτας ἰαμάτων ἀπαστράπτων τοῖς πᾶσι· διὸ καὶ ἑορτάζομεν πίστει τὴν μνήμην σου.

## Κοντάκια ψαλλόμενα ἐν τῇ μνήμῃ ἑκάστου Ἱεράρχου.

*Ἦχος πλ. β'.* Τὴν ὑπὲρ ἡμῶν πληρώσας οἰκονομίαν.

Ἄβυσσον ἡμῖν δογμάτων θεολογίας, ἔβλυσας σαφῶς ἐκ τῶν πηγῶν τοῦ Σωτῆρος, τὰς αἱρέσεις κατακλύζουσαν μακάριε, τὸ δὲ ποίμνιον ἀκίνδυνον τρικυμίαις διασώζουσαν· τῶν Κρητῶν γὰρ ὅσιε, ὑπάρχεις καθηγητὴς, ὡς τὰ θεῖα σαφῶν.

*Ἕτερον ἦχος πλ. δ'.* Τῇ ὑπερμάχῳ.

Τὸ τῆς σοφίας ἱερὸν καὶ θεῖον ὄργανον, θεολογίας τὴν λαμπρὰν συμφώνως σάλπιγγα, ἀνυμνοῦμέν σε θεορρῆμον ὅσιε· ἀλλ' ὡς νοῦς νοὶ τῷ πρώτῳ παριστάμενος, πρὸς αὐτὸν τὸν νοῦν ἡμῶν, Πάτερ ὁδήγησον· ἵνα κράξωμεν, χαῖρε κῆρυξ τῆς χάριτος.

Ὁ οἶκος, πρὸς τὸ «Ἄγγελος πρωτοστάτης»

Ἄγγελος ἀνεφάνης ἐπὶ γῆς τῶν ἀρρήτων, τὰ θεῖα τοῖς βροτοῖς ἐξαγγέλλων· ταῖς γὰρ τῶν ἀσωμάτων φωναῖς, ἀνθρωπίνῳ νοΐ τε καὶ σαρκὶ χρώμενος, ἐξέστησας ἡμᾶς, καὶ βοᾶν σοι θεορρῆμον, ἔπεισας ταῦτα·

Χαῖρε, δι' οὗ τὸ σκότος ἠλάθη· Χαῖρε δι' οὗ τὸ φῶς ἀντεισῆλθε.



Χαῖρε, τῆς ἀκτίστου Θεότητος ἄγγελε· χαῖρε, τῆς κτιστῆς καὶ μωρᾶς ὄντως ἔλεγχε.

Χαῖρε, ὕψος ἀνεπίβατον τὴν Θεοῦ φύσιν εἰπών· χαῖρε, βάθος δυσθεώρητον τὴν ἐνέργειαν εἰπών.

Χαῖρε, ὅτι τὴν δόξαν τοῦ Θεοῦ καλῶς εἶπας· χαῖρε, ὅτι τὰς δόξας τῶν κακούργων ἐξεῖπας.

Χαῖρε, φωστὴρ ὁ δείξας τὸν ἥλιον· χαῖρε, κρατὴρ τοῦ νέκταρος πάροχε.

Χαῖρε, δι' οὗ ἡ ἀλήθεια λάμπει· χαῖρε, δι' οὗ ἐσκοτίσθη τὸ ψεῦδος.

Χαῖρε, δι' οὗ ἐδιδάχθη ἡ Κρήτη· χαῖρε κῆρυξ τῆς χάριτος.

Δοξαστικὸν τῶν Ἁγίων Πατέρων εἰς τοὺς Αἴνους ἦχος πλ. δ'.

Τῶν Ἁγίων Πατέρων ὁ χορός· θείᾳ ἐμπνεύσει εἰς Κρήτην συνελθὼν, ἐν μιᾷ πίστει καὶ μιᾷ καρδίᾳ, διὰ σαρκὸς τὸν ἄσαρκον ἐχθρὸν ἐτροπώσαντο· καὶ τοὺς τῆς νίκης στεφάνους ἐν μιᾷ ῥοπῇ παρὰ τοῦ στεφοδότου Χριστοῦ ἐκομίσαντο· οὓς εὐφημοῦντες ἐν πίστει μακαρίσωμεν λέγοντες· ὢ θεία παρεμβολή! θεηγόροι ὁπλῖται, παρατάξεως Κυρίου· ἀστέρες πολύφωτοι τοῦ νοητοῦ στερεώματος· τῆς περιφήμου Κρήτης, ἀντιλήπτορες καὶ πρέσβεις· τὰ μυρίπνοα ἄνθη τοῦ Παραδείσου, τὰ πάνσεπτα κειμήλια τῆς Νήσου· Κυδωνίας τὸ καύχημα, Κρήτης ἀγλάϊσμα, ἐκτενῶς πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

## Εἰς τὰς καθημερινὰς μετὰ τὸ, Πληρώσωμεν.

Ἀπόστιχα, ἦχος πλ. β'. Τριήμερος ἀνέστης.

Ἡ χάρις ὑπερίσχυσεν, ἡ πίστις ἐπεκράτησεν, ἐπληρώθη πάντα γνώσεως Θεοῦ, διὰ τῶν Ἀποστόλων καὶ πάντων τῶν Ἁγίων τὴν σωτηρίαν ἐπλουτήσαμεν.

Στίχ. Θαυμαστὸς ὁ Θεός.

Τοῦ βίου ἐν τῷ κλύδωνι, ἀπαύστως χειμαζόμενοι, ἐκβοῶμεν, σῶσον πάντας ἀγαθὲ, πρεσβείαις, τῶν πανσόφων, καὶ θείων σου Ἁγίων, πάντων ὁμοῦ ὦ ὑπεράγαθε.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΕΑ ... ΝΤΟΡΗΣ ΠΑΠ...

www.tezaurliturgic.ro



Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.

Οὐράνια μυστήρια, ἀνθρώπινα μαθήματα, χαρισμάτων συνδρομὴ παντοδαπῶν, μετὰ κατορθωμάτων, νικώντων πάντα λόγον, τοὺς πάντας Ἁγίους ἐθαυμάστωσε.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Μεγάλων χαρισμάτων Ἁγνή, Παρθένε Θεομῆτορ σεμνή, ἠξιώθης ὅτι ἔτεκες σαρκί, τὸν ἕνα τῆς Τριάδος, Χριστὸν τὸν Ζωοδότην, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

### Τῇ Τετάρτῃ καὶ Παρασκευῇ.

Ἦχος δ'. Οἶκος τοῦ Εὐφραθᾶ.

Αὐθέντες τῶν δεσμῶν, τῆς πάλαι καταδίκης, πιστοὶ Σταυροῦ τῷ ξύλῳ, τὸν ἐν αὐτῷ παγέντα, Χριστὸν δοξολογήσωμεν.

Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεόν.

Ἄγε νῦν σὺν ἡμῖν, Δαβὶδ τὴν λύραν κίνει, Χριστὸν ὑψοῦτε ψάλλων, πιστοὶ καὶ προσκυνεῖτε, αὐτοῦ τὸ ὑποπόδιον.

Στίχ. Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν.

Ὀψώμεθα λαοί, προκείμενον τὸ ξύλον, δι' οὗ τὴν σωτηρίαν, ἡμῖν Χριστὸς βραβεύει, καὶ πίστει ἀσπασώμεθα.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Ὑψούμενον Σταυρῷ, ὑπὲρ βροτῶν ὁρῶσα τὸν σὸν Υἱὸν Παρθένε, ἐβόας θρηνῳδοῦσα, δόξα τῇ εὐσπλαγχνίᾳ σου.

Ἕτερα.

Λύμης φθοροποιοῦ, φυγόντες κακοδόξων, ὀρθοδοξίας φέγγει, καρδίας ἐλλαμφθῶμεν, πιστοὶ Θεὸν δοξάζοντες.

Στίχ. Ἐνέγκατε τῷ Κυρίῳ Υἱοὶ Θεοῦ.

Ἀρείου θολερὰ κατήργηται ἀπάτη, Μακεδονίου Πέτρου, Σεβήρου τε καὶ Πύρρου, καὶ λάμπει φῶς Τρισήλιον.

Στίχ. Προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ.

Οὐκέτι δυσσεβῶν αὐγεῖ τὸ νόθον δόγμα, Θεὸς γὰρ Ὀρθοδόξοις, τῇ νεύσει Θεοδώρας, ῥάβδον ἰσχύος δίδωσι.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Ὕψωσας ταπεινῶν τὸ κέρας Θεοτόκε, τεκοῦσα Θεὸν Λόγον, ὅθεν πιστῶς σε πάντες, τιμῶντες μεγαλύνομεν.

ΕΝ ΑΘΗΝΑΙΣ. — Ἐκ τοῦ Τυπογραφείου ΠΕΤΡΟΥ ΠΕΡΡΗ.

**ΣΗΜ.** Τεθείσης ἐν τοῖς ἔμπροσθεν κοινῆς τῶν τεσσάρων Ἱεραρχῶν Κρήτης Ἀκολουθίας, ψαλλομένης κατὰ τὴν Ἑορτὴν τοῦ πρώτου Ἱεράρχου τῆς νήσου Τίτου, ἐθεωρήθη καλὸν νὰ προστεθῇ ἐνταῦθα καὶ ἰδιαιτέρα ἑκάστου τῶν τριῶν Ἀκολουθία κατὰ τὴν ἑπομένην τάξιν.

---

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΕΥΜΕΝΙΟΥ

### ΕΠΙΣΚΟΠΟΥ ΓΟΡΤΥΝΗΣ ΤΗΣ ΚΡΗΤΗΣ

ΨΑΛΛΟΜΕΝΗ ΤΗΝ 18 ΣΕΠΤΕΜΒΡΙΟΥ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

Ἐν τῷ Ἑσπερινῷ εἰς τό, «Κύριε ἐκέκραξα» ἱστῶμεν στίχ. ς'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια τῆς Ἑορτῆς γ'. καὶ τοῦ Ἁγίου γ'.

Τροπάρια τῆς Ἑορτῆς

ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσι.

Ἐν φωναῖς ἀλαλάξωμεν, ἐν ᾠδαῖς μεγαλύνωμεν, τὸν Σταυρὸν τὸν τίμιον ἀσπαζόμενοι, καὶ πρὸς αὐτὸν ἐκβοήσωμεν· Σταυρὲ πανσεβάσμιε, καθαγίασον ἡμῶν, τὰς ψυχὰς καὶ τὰ σώματα, τῇ δυνάμει σου· καὶ παντοίας ἐκ βλάβης ἐναντίων, διατήρησον ἀτρώτους, τοὺς εὐσεβῶς προσκυνοῦντάς σε.

Προσελθόντες ἀρύσασθε, μὴ κενούμενα νάματα, τοῦ Σταυροῦ τῇ χάριτι προερχόμενα, ἰδοὺ προκείμενον βλέποντες, τὸ ξύλον τὸ Ἅγιον, χαρισμάτων τὴν πηγήν, ἀρδομένην τῷ αἵματι, καὶ τῷ ὕδατι, τοῦ Δεσπότου τῶν ὅλων τοῦ ἐν τούτῳ, ἑκουσίως ὑψωθέντος, καὶ τοὺς βροτοὺς ἀνυψώσαντος.

www.tezaurliturgic.ro



Ἐκκλησίας ἑδραίωμα, βασιλέων κραταίωμα, μοναζόντων καύχημα καὶ διάσωσμα, σὺ εἶ Σταυρὲ πανσεβάσμιε· διὸ προσκυνοῦντές σε, καὶ καρδίας καὶ ψυχὰς φωτιζόμεθα σήμερον, θείᾳ χάριτι, τοῦ ἐν Σοὶ προσπαγέντος καὶ τὸ κράτος, τοῦ δολίου καθελόντος, καὶ τὴν ἀρὰν ἀφανίσαντος.

Τοῦ Ἁγίου. Ὁ αὐτός.

Τὴν ψυχὴν καὶ τὸ σῶμά σου, τῶν παθῶν καθηράμενος, τοῦ Ἁγίου Πνεύματος οἶκος γέγονας, καὶ Ἱερέων ἐν χρίσματι, σαυτὸν κατεκόσμησας, παραστάτης δεξιός, χρηματίσας Εὐμένιε, καὶ συνόμιλος, τῶν Ἁγίων Ἀγγέλων καὶ τῆς δόξης τοῦ Κυρίου κληρονόμος, καὶ πρεσβευτὴς τῶν ὑμνούντων σε.

Ὁ περίδοξος βίος σου, ἀρεταῖς φαιδρυνόμενος, τῶν θαυμάτων ἔλαμψε ταῖς φαιδρότησι, καὶ εὐκλεῆ σε τοῖς πέρασι, παμμάκαρ εἰργάσατο, καὶ φωστῆρα ἀπλανῆ, καὶ Ἁγίων ὁμόσκηνον καὶ τῆς πόλεως, τῆς ἁγίας πολίτην Ἱεράρχα τῶν Ἀγγέλων συμπολῖτα, θαυματουργὲ ἀξιάγαστε.

Τῶν Κρητῶν ἐγκαλλώπισμα, τῆς Γορτύνης τὸν πρόεδρον, Ἐκκλησίας ἄσειστον τὸν θεμέλιον, τὸν Ἱεράρχην Εὐμένιον, ἐν θαύμασι μέγιστον, καὶ δυνάμεσι πολλαῖς γεγονότα περίδοξον, καὶ φωτίσαντα, τὰς ἐν ζόφῳ καρδίας, ὡς φωστῆρα τῶν πιστῶν μεγαλοφώνως, οἱ συνελθόντες τιμήσωμεν.

Δόξα, ἦχος πλ: δ'.

Ὁ τὴν χάριν τῶν θαυμάτων, οὐρανόθεν κομισάμενος, καὶ τὴν πλάνην τῶν εἰδώλων, στηλιτεύσας ἐν τοῖς δόγμασιν, Ἀρχιερέων ὑπάρχεις δόξα καὶ ἑδραίωμα, παμμακάριστε Εὐμένιε, ὁ τὴν Ῥώμην καταφωτίσας ταῖς θείαις διδασκαλίαις σου. Παρρησίαν οὖν ἔχων πρὸς Χριστόν, αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.



Καὶ νῦν, Τῆς Ἑορτῆς. Ὁ αὐτός.

Σήμερον ξύλον ἐφανερώθη, σήμερον γένος Ἑβραίων ἀπώλετο· σήμερον διὰ πιστῶν βασιλέων ἡ πίστις φανεροῦται, καὶ ὁ Ἀδὰμ διὰ τοῦ ξύλου ἐξέπεσε, καὶ πάλιν διὰ ξύλου δαίμονες ἔφριξαν. Παντοδύναμε Κύριε δόξα σοι.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. — Τὰ Ἀναγνώσματα καὶ ἡ Λιτὴ τῶν 4 Ἱεραρχῶν.

Δόξα, τοῦ Ἁγίου· ἦχος β'.

Τὸν ἐν σαρκὶ ἰσάγγελον βίον σου, ἄγγελοι καὶ ἄνθρωποι ἐθαύμασαν, Ἱερεῖς καὶ μονάζοντες ηὐλαβήθησαν, Θεὸς δὲ ἐδόξασεν ὁ αὐτὸς ὑπὸ σοῦ δοξασθείς· ὃν νῦν ἡμῖν ἐξιλέωσαι, Εὐμένιε πάτερ ἁγιώτατε.

Καὶ νῦν, τῆς Ἑορτῆς. Ὁ αὐτός.

Σύ μου σκέπη κραταιὰ ὑπάρχεις, ὁ τριμερὴς Σταυρὸς τοῦ Χριστοῦ· ἁγίασόν με τῇ δυνάμει σου, ἵνα πίστει καὶ πόθῳ, προσκυνῶ καὶ δοξάζω σε.

Ἀπόστιχα. Ἐκ τῶν Αἴνων τρία μετὰ τῶν στίχων

» Οἱ Ἱερεῖς σου Κύριε...

» Καυχήσονται Ὅσιοι...

Δόξα, τοῦ Ἁγίου, ἦχος δ'.

Ἐκκαθάρας σου τὸν νοῦν πάσης ὑλικῆς προσπαθείας, Εὐμένιε θεόσοφε, τὴν δὲ ψυχὴν ἡδυπαθείας καὶ τὸ σῶμα τῆς ἐμπαθείας, κατοικητήριον γέγονας τοῦ ἀκενώτου μύρου, Χριστοῦ τοῦ Θεοῦ, τοῦ ἐν γῇ κενωθέντος δι' ἀγαθότητα καὶ τὴν Κτίσιν εὐωδιάσαντος. Ὅθεν καὶ μετὰ θάνατον μῦρα βλύζειν κατηξιώθης ἐκ τοῦ ἱεροῦ καὶ Ἁγίου λειψάνου σου· σύμ-

www.tezaurliturgic.ro



βολον δὲ τοῦτο καὶ τεκμήριον ἐναργέστατον· τῆς ἀκραιφνοῦς ἁγνείας καὶ παρθενίας ὑπάρχει· ἧς καὶ ἡμᾶς μετασχεῖν καταξίωσον, ταῖς πρὸς Θεὸν ἱκεσίαις σου.

Καὶ νῦν, τῆς Ἑορτῆς. Ὁ αὐτός.

Τοῦ τιμίου Σταυροῦ σου Χριστέ, τὴν ἐνέργειαν προδιατυπώσας Μωϋσῆς, ἐτροποῦτο τὸν ἐναντίον Ἀμαλὴκ, ἐν τῇ ἐρήμῳ Σινᾶ· ὅτε γὰρ ἐφήπλου τὰς χεῖρας Σταυροῦ τὸν τύπον ποιῶν, ἐνίσχυεν ὁ λαός· νυνὶ δὲ τῶν πραγμάτων ἡ ἔκβασις εἰς ἡμᾶς πεπλήρωται· σήμερον Σταυρὸς ὑψοῦται καὶ δαίμονες φυγαδεύονται· σήμερον ἡ κτίσις πᾶσα ἐκ τῆς φθορᾶς ἠλευθέρωται· πάντα γὰρ διὰ Σταυροῦ ἐπέλαμψεν ἡμῖν τὰ χαρίσματα· διὸ γηθόμενοι πάντες προσπίπτομέν σοι λέγοντες. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε δόξα σοι.

Ἀπολυτίκιον. Τοῦ Ἁγίου. Ζήτει σελ. 233.
Τῆς Ἑορτῆς. Καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Καθίσματα. Μετὰ τὴν α΄. στιχολογίαν.
Ἦχος γ΄. Τὴν ὡραιότητα.

Τὴν τῶν αἱρέσεων πλάνην διήλεγξας, καὶ τὴν ὀρθόδοξον πίστιν ἐτράνωσας, ὡς Ἱεράρχης εὐσεβής, ἐδίδαξας καὶ ἐν Ῥώμῃ, μίαν τὴν Θεότητα ἐν Τριάδι γνωρίζεσθαι, φύσει ὁμοούσιον καὶ προσώποις ἀσύγχυτον· διὸ καὶ ἑορτάζομεν πίστει, Πάτερ Εὐμένιε, τὴν μνήμην σου.



Δόξα τὸ αὐτό, Καὶ νῦν, τῆς Ἑορτῆς· ὁ αὐτός.

Τὸν ἐπονείδιστον οἰκτίρμον θάνατον, διὰ σταυρώσεως ἑκὼν ὑπέμεινας· ὃν ἡ τεκοῦσά σε Χριστέ, ὁρῶσα ἐτιτρώσκετο· σπλάγχνα κοπτομένη γὰρ μητρικῶς ἐπωδύρετο, ἧς ταῖς παρακλήσεσι διὰ σπλάγχνα ἐλέους σου, οἰκτείρησον καὶ σῶσον τὸν κόσμον, ὁ αἴρων τούτου τὴν ἁμαρτίαν.

Μετὰ τὴν β΄. στιχλ. ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τριάδος γενόμενος τῆς ὑπερθέου ναός, ἐν οἴκῳ ἁγίῳ σου τοὺς σὲ τιμῶντας πιστῶς, ἁγίασον φώτισον· πλήρωσον τὰς αἰτήσεις καὶ παράσχου τὰς λύσεις, πάντων τῶν ἐπιόντων τοῦ Βελίαρ σκανδάλων, Χριστὸν ἐκδυσωπῶν ἐκτενῶς, Εὐμένιε πάνσοφε.

Δόξα, τὸ αὐτό· Καὶ νῦν, τῆς Ἑορτῆς· ὁ αὐτός.

Ἐν σοὶ τρισμακάριστε καὶ ζωοδότα Σταυρέ, λαοὶ εὐωχούμενοι πανηγυρίζουσι νῦν, ἀΰλων σὺν τάγμασι. τάξεις Ἀρχιερέων εὐσεβῶς ἀνυμνοῦσι, πλήθη τῶν μοναζόντων εὐλαβῶς προσκυνοῦσι· Χριστὸν δὲ τὸν σταυρωθέντα πάντες δοξάζομεν.

Μετὰ τὸν Πολυέλεον· ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ὥσπερ μέγας ἥλιος, ταῖς τῶν δογμάτων, καὶ θαυμάτων λάμψεσι, φωταγωγεῖς διὰ παντός, τῆς Κρήτης πάσης τὸ πλήρωμα, οὐρανομύστα, παμμάκαρ Εὐμένιε.

Δόξα, τὸ αὐτό· Καὶ νῦν, τῆς Ἑορτῆς· ὁ αὐτός.

Ὁ Σταυρός σου Κύριε, ὡς φῶς ἐκλάμπων, τὰς τοῦ σκότους φάλαγγας, ἀποδιώκει καὶ πιστούς, καταφαιδρύνει τοὺς ψάλλοντας· Σταυρὸς ὑπάρχει, τοῦ κόσμου τὸ καύχημα.

www.tezaurliturgic.ro



Οἱ ἀναβαθμοί. — Προκείμενον.

» Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην.

Στίχ: Τὸ στόμα μου λαλήσει σοφίαν.

Εὐαγγέλιον τοῦ Χρυσοστόμου. Ἐκ τοῦ κατὰ Ἰωάννην.

» Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας......

Μετὰ τὸν Ν΄. Δόξα, Ταῖς τοῦ Ἱεράρχου.

Καὶ νῦν, Ταῖς τῆς Θεοτόκου.

Στίχ: Ἐλέησόν με ὁ Θεός· ἦχος πλ: β΄.

Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου Ὅσιε πάτερ, καὶ γέγονας ποιμὴν τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, διδάσκων τὰ λογικὰ πρόβατα, πιστεύειν εἰς Τριάδα ὁμοούσιον, ἐν μιᾷ Θεότητι.

Εἶτα, Σῶσον ὁ Θεός.

Ὁ κανὼν τῆς Ἑορτῆς καὶ τῶν Ἁγίων Πάντων.

Καταβασίαι: Σταυρὸν χαράξας.

Ἀφ' ἕκτης ᾠδῆς.

Κοντάκιον, καὶ Οἶκος. Ζήτει ἐν σελ. 234.

Τῇ 18 Σεπτεμβρίου μνήμην ἐπιτελοῦμεν τοῦ Ὁσίου Πατρὸς ἡμῶν Εὐμενίου, Ἐπισκόπου Γορτύνης τῆς κατὰ Κρήτην τοῦ θαυματουργοῦ.

» Τὸ λεῖον Εὐμένιος ὄμμα Γορτύνης
» Πανευμενὲς κατεῖδεν ὄμμα Κυρίου.
» Ὀγδοάτῃ δεκάτῃ θάνεν Εὐμένιος μεγαλήτωρ.

Ταῖς τοῦ σοῦ Ἱεράρχου πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

---



## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ.

Ἦχος Γ΄. Φῶς ἀναλλοίωτον Λόγε.

Ἐν Ἱεράρχαις αὐγάζεις, ὡς ἥλιος ἐν ἡμέρᾳ, καὶ ἐν Ὁσίοις ἐκλάμπεις, ὥσπερ ἐν ἄστροις σελήνη· διό σε ἀνευφημοῦμεν, Εὐμένιε θεοφόρε, τῆς Κρήτης ὄντως τὸ κλέος.

Τῆς Ἑορτῆς.

Σταυρὸς ὁ φύλαξ πάσης τῆς οἰκουμένης· Σταυρὸς ἡ ὡραιότης τῆς Ἐκκλησίας· Σταυρὸς βασιλέων τὸ κραταίωμα, Σταυρὸς πιστῶν τὸ στήριγμα, Σταυρὸς ἀγγέλων ἡ δόξα, καὶ τῶν δαιμόνων τὸ τραῦμα.

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχ: δ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τὸ καθαρὸν τῆς ψυχῆς σου καὶ ἀκηλίδωτον φῶς, ἡλιακὰς ἀκτῖνας, καταλάμπει τῷ κόσμῳ, δογμάτων εὐσεβείας πάτερ σοφέ, Ἱεράρχα Εὐμένιε· καὶ τὴν ἀχλὺν ἐκδιώκει καὶ δᾳδουχεῖ, τὴν οἰκουμένην πρὸς εὐσέβειαν.

Θείᾳ ἐμπνεύσει τοῦ Λόγου, διαδραμὼν Γραφικῶς, πᾶσαν τὴν γῆν ὁ φθόγγος, τῶν δογμάτων σου Τῖτε, ἐφώτισας τὸν κόσμον ἀνοίξας ἡμῖν, τῆς μετανοίας τὴν εἴσοδον, τὴν τῶν ἁπάντων φροντίδα ἀνατυπῶν, καὶ Χριστοῦ τὸ Εὐαγγέλιον.

Τῶν φιλεόρτων τὰ πλήθη δεῦτε συνδράμωμεν, καὶ μνήμην τὴν φωσφόρον, τοῦ ἐνθέου Κυρίλλου, κροτήσωμεν ἐν ὕμνοις χαρμονικοῖς, τὸν Σωτῆρα δοξάζοντες, τὸν θαυμαστώσαντα τοῦτον ἐν οὐρανῷ, καὶ ἐν γῇ ὡς μέγαν ἥλιον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

www.tezaurliturgic.ro



Τῷ βασιλεῖ τῶν αἰώνων Πάτερ Ἀνδρέα σοφέ, νῦν παρεστὼς δυσώπει, ὑπὲρ τῶν ἱκετῶν σου, ῥυσθῆναι πάσης βλάβης καὶ πειρασμῶν, καὶ κινδύνων καὶ θλίψεων, καὶ νοσημάτων παντοίων καὶ πρὸς ζωήν, τὴν ἀνέσπερον ὁδήγησον.

Δόξα, ἦχος Γ'.

Ἡ τοῦ Ἁγίου Πνεύματος παντοδύναμος χάρις, εὑροῦσα τὴν ἱεράν σου ψυχήν, Εὐμένιε Ἱεράρχα, πρὸς ἔλεον τῶν πιστῶν καὶ συμπάθειαν ῥέπουσαν, τὴν χάριν τῶν θαυμάτων δαψιλῆ σοι ἐχαρίσατο, ἵνα καὶ τὸν ἔλεον τοῖς δεομένοις ἀφθονώτερον ἐπιδείξῃς· δι' ἧς πάθη ποικίλα θεραπεύεις ἑκάστοτε, καὶ ἀπαλλάττεις τοὺς πάσχοντας, καὶ πρεσβεύεις ἐκτενῶς τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, Τῆς Ἑορτῆς· ἦχος πλ: δ'.

Σταυρὲ τοῦ Χριστοῦ, Χριστιανῶν ἡ ἐλπίς, πεπλανημένων ὁδηγέ, χειμαζομένων λιμήν, ἐν πολέμοις νίκος, οἰκουμένης ἀσφάλεια· νοσούντων ἰατρέ, νεκρῶν ἡ ἀνάστασις, ἐλέησον ἡμᾶς.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν. Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Χρυσοστόμου.

Κοινων: Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΚΥΡΙΛΛΟΥ

### ΕΠΙΣΚΟΠΟΥ ΓΟΡΤΥΝΗΣ ΤΗΣ ΚΡΗΤΗΣ

ΨΑΛΛΟΜΕΝΗ ΤΗΝ 14 ΙΟΥΝΙΟΥ

---

Ἐν τῷ Ἑσπερινῷ, εἰς τὸ «Κύριε ἐκέκραξα» ἱστῶμεν στίχ. ς'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια τρία δευτεροῦντες αὐτά.

Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσι.

Εὐφραδείᾳ τῶν λόγων σου, Ἱερώτατε Κύριλλε, Ἐκκλησία ἅπασα ὡραΐζεται, καὶ εὐσεβῶς καλλωπίζεται, ὡραίοις ἐν κάλλεσι, καὶ τιμᾷ σου ἱερῶς τὴν ἁγίαν καὶ εὔσημον, μνήμην ἔνδοξε, ὀρθοδόξων τὸ κλέος, τῶν πατέρων, κορυφαῖε τῆς Γορτύνης, καὶ Κρήτης πάσης ὑπέρμαχε.

Φρυκτωρίαις τοῦ Πνεύματος, ἐλλαμφθεὶς τὴν διάνοιαν, φωτοβόλος ἥλιος ἐχρημάτισας, ὥσπερ ἀκτῖνας τὰ δόγματα, ἐν Κρήτῃ Μακάριε, διαχέων καὶ Κρητῶν καταυγάζων πληρώματα, Πάτερ Κύριλλε, καὶ διώκων τὸ σκότος θεοφόρε, τῶν αἱρέσεων δυνάμει, τοῦ ἐκ Παρθένου ἐκλάμψαντος.

Τῆς Χριστοῦ ἀπεδίωξας, νοητοὺς λύκους Κύριλλε, Ἐκκλησίας, Κρήτην τε σοῖς διδάγμασι, πάντοθεν κύκλῳ ἐτείχισας, Πάτερ ἱερώτατε, παραστήσας τῷ Χριστῷ, ἀσινῆ καὶ ἀλώβητον· ὃν ἱκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν Κρήτῃ ἐνοικοῦντας, καὶ προσκυνοῦντάς σε ἔνδοξε.

www.tezaurliturgic.ro



Δόξα, ἦχος πλ: δ΄.

Ἱεράρχα καὶ μάρτυς Κύριλλε, σὺ κοινωνὸς ἐπὶ γῆς τῶν παθημάτων τοῦ Χριστοῦ χρηματίσας τὸ πρότερον εἰκότως, καὶ τῆς δόξης νῦν ἐν οὐρανοῖς αὐτῷ συμμέτοχος γέγονας, καὶ τῇ ἀρχιφώτῳ Θεότητι, τῇ ἐν Τριάδι γνωριζομένῃ ἀεὶ παρίστασαι· διό σου δεόμεθα, κοινωνοὺς τῆς σῆς δόξης καὶ ἡμᾶς τοὺς Κρῆτας ἀξίωσον, τοὺς ἐκ πόθου τελοῦντας τὴν μνήμην σου.

Καὶ νῦν. Τίς μὴ μακαρίσει σε...

Εἴσοδος. Φῶς ἱλαρόν. προκείμενον τῆς ἡμέρας. Τὰ Ἀναγνώσματα καὶ ἡ Λιτὴ τῶν 4 Ἱεραρχῶν.

Δόξα, τοῦ Ἁγίου. ἦχος β΄.

Ποιμὴν ἀληθὴς καὶ τοῦ ἀρχιποίμενος Χριστοῦ μιμητής, ἀνεδείχθης θεόσοφε Κύριλλε· ἐν γήρᾳ γὰρ βαθυτάτῳ διὰ τὸ τὸν Χριστὸν διαπρυσίως κηρύττειν, δεσμοῖς καὶ πυρὶ παρεδόθης ὑπὸ τοῦ δυσσεβοῦς ἄρχοντος· ὃν ἐξέπληξας μείνας ἄφλεκτος τῇ ἰσχύϊ τοῦ ἐνδυναμοῦντός σε Χριστοῦ· πολλοὺς δὲ ἐκ τοῦ σκότους τῆς ἀγνωσίας εἰς τὸ τῆς ἀληθείας φῶς καθοδηγήσας, ξίφει τὴν κεφαλὴν ἀπετμήθης, καὶ τὸν τοῦ μαρτυρίου ἀμάραντον ἀπείληφας στέφανον· διὸ ἡ Κρήτη σήμερον πολιοῦχόν σε κεκτημένη, ἀγάλλεται πανηγυρίζουσα τὴν μνήμην σου Ἱεράρχα· πρέσβευε οὖν Χριστῷ τῷ Θεῷ, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν, Θεοτοκίον. ὁ αὐτός.

Ὡσεὶ ἐλαία κατάκαρπος, ἡ Παρθένος ἐβλάστησε, Σὲ τὸν καρπὸν τῆς ζωῆς, καρποφοροῦντα τῷ κόσμῳ, τὸ μέγα καὶ πλούσιον ἔλεος.



Ἀπόστιχα τὰ τρία ἐκ τῶν Αἴνων τοῦ Ἁγίου Εὐμενίου.
Δόξα, τοῦ Ἁγίου. ἦχος δ΄.

Φαιδρὰ καὶ χαρμόσυνος ἐπέλαμψεν ἡ μνήμη τοῦ Ἱερομάρτυρος Κυρίλλου· οὗ τοῖς ἀγῶσι Κρήτη ἐγκαλλωπιζομένη, τοῖς ᾄσμασιν ὡς ἄνθεσι, τὴν ἱερὰν αὐτοῦ πανήγυριν καταστέφει ἐκβοῶσα. Χαίροις ὁ ποιμὴν ὁ καλός, ὁ τὴν ψυχὴν θεὶς ὑπὲρ τῶν προβάτων, ἡ θυσία καὶ θύτης, ὁ ἱερεὺς καὶ ἱερεῖον· ἀλλ' ὦ μαρτύρων σύσκηνε, καὶ Ἱεραρχῶν σύνθρονε, τὴν εὐλαβῶς σε γεραίρουσαν νῆσον, πάσης ἀπειλῆς δαιμόνων ἐλευθέρωσον, καὶ σωτηρίας πρὸς ὅρμον, τοὺς ἐν αὐτῇ οἰκοῦντας ἴθυνον.

Καὶ νῦν. Νεῦσον παρακλήσεσι.

Ἀπολυτίκιον τοῦ Ἁγίου. ζήτει σελ. 233.

Θεοτοκίον καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Καθίσματα. Μετὰ τὴν α΄. στιχολογίαν
ἦχος γ΄. Θείας πίστεως.

Θείοις δόγμασιν, ὀρθοδοξίας, πλάνην ἔσβεσας, κακοδοξίας, ταῖς διδαχαῖς σου τὰς αἱρέσεις ἐξέτεμες, τῆς εὐσεβείας τὸν δρόμον τετέλεκας, καὶ ὡς μάρτυς Ἱεράρχα τὴν πίστιν τετήρηκας· Ὅθεν Ἅγιε Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον. Ὁ αὐτός.

Θρόνος πάγχρυσος τοῦ Βασιλέως, καὶ παράδεισος διηνθισμένος, ἀνεδείχθης Θεοτόκε πανάχραντε· τὸν γὰρ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΔΩΡΕΑ ΙΩΑΝΝΟΥ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



Θεὸν ἐν γαστρί σου βαστάσασα, εὐωδιάζεις ἡμᾶς θείαις χάρισιν· ὅθεν ἅπαντες ἀληθῶς Θεοῦ μητέρα σε, κηρύττομεν ἀεὶ καὶ μεγαλύνομεν.

Μετὰ τὴν β΄. στιχολ. ὁ αὐτός.

Θείου Πνεύματος τῇ φωταυγείᾳ, σκότος ἔλυσας πολυθείας, καὶ τῶν Κρητῶν τὰς καρδίας ἐφώτισας, ἀναβοήσας σωτήρια δόγματα, καὶ καταργήσας ἀθέων μυθεύματα· Κύριλλε ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα τὸ αὐτό. Καὶ νῦν, τὸ ἀνωτέρω Θεοτοκίον.
Μετὰ τὸν Πολυέλεον
ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ὤφθης μέγας ἥλιος τῆς Ἐκκλησίας, διδαγμάτων λάμψεσι καὶ θαυμασίων φοβερῶν, φωταγωγῶν τοὺς τιμῶντάς σε. Κύριλλε πάτερ, τῆς Κρήτης τὸ καύχημα.

Δόξα τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον. Ὁ αὐτός.

Ἐπληγώθην πάθεσιν, ἰάτρευσόν με, ἐν κακοῖς ἀπόλλυμαι, σῶσόν με Μῆτερ τοῦ Θεοῦ, ἡ τὸν Σωτῆρα κυήσασα, καὶ ἰατῆρα τῶν νόσων Πανύμνητε.

Οἱ Ἀναβαθμοί, Προκείμενον κ.λ. κατὰ τὴν τάξιν τοῦ Ἁγίου Εὐμενίου.
Ὁ Κανὼν τῆς Θεοτόκου καὶ τῶν Ἁγίων Πάντων.
Καταβασίαι : Ἀνοίξω τὸ στόμα μου.
Ἀφ' ἕκτης ᾠδῆς.
Κοντάκιον καὶ Οἶκος. ζήτει ἐν σελ. 234.

Τῇ 14 Ἰουνίου μνήμην ἐπιτελοῦμεν τοῦ Ἁγίου Ἱερομάρτυρος Κυρίλλου, Ἐπισκόπου Γορτύνης τῆς Κρήτης.



» Εἰ καὶ γέρων Κύριλλος ἦν ὁ Γορτύνης,
» Ἥβωσαν εἶχε πρὸς ξίφος τὴν καρδίαν.

Ταῖς τοῦ σοῦ Ἱεράρχου πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

---

## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ.

Τῶν μαθητῶν ὁρώντων σε.

Χορείαν ἄγε σήμερον ἐτησίαν, Κρητῶν ἡ μεγαλόνησος εὐφροσύνως, Κυρίλλου τοῦ ποιμένος σου καὶ σκίρτησον, τὸν πολιοῦχον ἔχουσα, διατηροῦντά σε βλάβης, τῶν δυσμενῶν ἀνωτέραν.

Θεοτοκίον.

Εἴτις τὴν σὴν πανάμωμε Θεοτόκε, εἰκόνα οὐκ ἀσπάζεται μετὰ πόθου, εἰς τὸ πῦρ βληθήσεται τῆς γεέννης, ὥσπερ ὁ ἄφρων Ἄρειος· ἡμεῖς δὲ σὲ Παναγία, κατασπαζόμεθα πόθῳ.

Οἱ Αἶνοι τοῦ Ἁγίου Εὐμενίου.
Δόξα, τοῦ Ἁγίου. Ἦχος πλ. α΄.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, χορεύσωμεν τῷ πνεύματι, καὶ κροτήσωμεν εὐφραινόμενοι ἐν τῇ πανδήμῳ πανηγύρει, τοῦ Ἱεράρχου Κυρίλλου καὶ μάρτυρος Χριστοῦ τοῦ Θεοῦ. Ἱερεῖς καὶ ἄρχοντες συντρεχέτωσαν, καὶ τὸν τῶν θαυμάτων δεξάμενον τὴν χάριν, καὶ ταῦτα τοῖς χρήζουσιν ἐκχέοντα ποταμηδόν, ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς εὐφημείτωσαν· οἱ πένητες τὸν βοηθόν, οἱ δαιμονῶντες τὸν ῥύστην, οἱ ἐν συμφοραῖς τὸν σωτῆρα, οἱ νοσοῦντες τὸν ἰατρόν, οἱ Κρῆτες τὸν θερμὸν προστάτην, οἱ ὁδοιπόροι τὸν συνοδίτην, οἱ πάντες τὸν πάντα πᾶσι γενόμενον, μέγιστον Ἱε-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



ράρχην, ἐγκωμιάζοντες οὕτως εἴπωμεν. Πανάγιε Ἱεράρχα Κύριλλε, μεσίτευσον ὑπὲρ ἡμῶν πρὸς τὸν Θεὸν καὶ Δεσπότην, καὶ ῥῦσαι κολάσεως ταῖς ἱκεσίαις σου.

Καὶ νῦν. Θεοτοκίον.

Σὲ δυσωποῦμεν ὡς Θεοῦ μητέρα, εὐλογημένη πρέσβευε, σωθῆναι ἡμᾶς.

Δοξολογία μεγάλη, καὶ ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν. Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Χρυσοστόμου.

Κοινων: Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΝΔΡΕΟΥ

### ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΡΗΤΗΣ ΤΟΥ ΙΕΡΟΣΟΛΥΜΙΤΟΥ

ΨΑΛΛΟΜΕΝΗ ΤΗΝ 4 ΙΟΥΛΙΟΥ

Ἐν τῷ Ἑσπερινῷ εἰς τὸ « Κύριε ἐκέκραξα » ἱστῶμεν στίχ. ϛ'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια τρία δευτεροῦντες αὐτά.

Ἦχος πλ. δ'. Τί ὑμᾶς καλέσωμεν.

Τί σε νῦν Ἀνδρέα καλέσωμεν; ἀσκητήν, τῶν παθημάτων ἀμαυροῦντα τὰς ὁρμάς, λειτουργὸν ἱερουργοῦντα Εὐαγγέλιον Χριστοῦ, κιθάραν, μελῳδοῦσαν τὰ τοῦ Πνεύματος, κινύραν, καταθέλγουσαν τὰ σύμπαντα, νέον Δαβὶδ γνωριζόμενον, τῆς κιβωτοῦ προσκιρτήσαντα, τῆς χάριτος καὶ τῆς νέας διαθήκης Σοφέ.

Τί σε νῦν Ἀνδρέα προσείπωμεν; μιμητὴν τῶν ἀνδρικῶς ἠγωνισμένων ἐκλεκτῶν, ἐπαινέτην τῶν μαρτύρων τῶν Ἁγίων ἀψευδῆ, ἀλείπτην ἀρετῆς πρὸς ἐπανάληψιν, ζωγράφον τῆς τοῦ βίου ματαιότητος, ὑφηγητὴν ἀκριβέστατον, δογματιστὴν ἀληθέστατον· ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε νῦν Ἀνδρέα προσφθέγξωμεν; τῶν ἁγίων Ἱεροσολύμων βλάστημα τερπνόν, τῶν δογμάτων τῶν ὀρθῶν τῆς εὐσεβείας στηριγμόν, τῆς Κρήτης Ἱεράρχην ἱερώτατον, τὸν κόσμον φρυκτωρίαις καταυγάζοντα, Ἀνατολῆς

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



ἐξορμώμενον, φωτίζοντα τὰ Ἑσπέρια· ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, ἦχος Γ'.

Ἡ μεγάλη τῆς ἀληθείας σάλπιγξ, ὁ σοφώτατος Ἀνδρέας πρὸς εὐωχίαν σήμερον συγκαλεῖται τὴν Ἐκκλησίαν· φαιδρῶς πάντες πιστοί, πρὸς τὴν πανήγυριν ὑπαντήσωμεν τοῦ καλοῦ ποιμένος, ὕμνοις γεραίροντες τοὺς ἱεροὺς αὐτοῦ πόνους· ὅπως ταῖς πρεσβείαις αὐτοῦ, λάβωμεν παρὰ Χριστοῦ τοῦ Θεοῦ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Πῶς μὴ θαυμάσωμεν.

Εἴσοδος. Φῶς ἱλαρόν· προκείμενον τῆς ἡμέρας.

Τὰ Ἀναγνώσματα καὶ ἡ Λιτὴ τῶν 4 Ἱεραρχῶν.

Δόξα, τοῦ Ἁγίου· ἦχος α'.

Ἐνατενίσας ἀκλινῶς τῷ ὕψει τῆς γνώσεως, καὶ κατοπτεύσας ἀδήλως σοφίας τὸν βυθόν, σαῖς διδαχαῖς κόσμον κατεπλούτισας, Ἀνδρέα σοφέ· ὑπὲρ ἡμῶν Χριστὸν δυσώπει, Κρήτης Ἱεράρχα.

Καὶ νῦν. Θεοτοκίον· ὁ αὐτός.

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς Παναγία παρθένε.

Ἀπόστιχα, τὰ τρία ἐκ τῶν Αἴνων τοῦ Ἁγίου Εὐμενίου.

Δόξα, τοῦ Ἁγίου· ἦχος πλ: δ'.

Δεῦτε φιλέορτοι πάντες, πνευματικὴν χορείαν στησάμενοι, Ἀνδρέαν τὸν πάνσοφον ἑορτάσωμεν· τὸν πλήρη γνώσεως καὶ σοφίας, τὸν πιστὸν Ἱεράρχην τοῦ Χριστοῦ, τὸν πύργον τῆς εὐσεβείας, καὶ τῆς ἐν Κρήτῃ Ἐκκλησίας τὸν φαεινότατον ἀστέρα· οὗτος γὰρ Ἀποστολικοῖς ἠγλαϊσμένος χάρισι, καὶ τὴν ἐξ ὕψους δύναμιν ἐνδεδυμένος τοῦ Ἁγίου Πνεύματος, κατὰ τῶν ἀκαθάρτων πνευμάτων τὸ κράτος ἐκτήσατο, καὶ ταῦτα πόρρω τῆς Κρήτης ἐδίωξε· χάριν ἐξαίρετον εἰληφὼς παρὰ Χριστοῦ τοῦ Θεοῦ, τοῦ παρέχοντος ἡμῖν τὸ μέγα ἔλεος.



Καὶ νῦν. Ἀνύμφευτε παρθένε.

Ἀπολυτίκιον τοῦ Ἁγίου. Ζήτει σελ. 233.

Θεοτοκίον καὶ Ἀπόλυσις.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Καθίσματα. Μετὰ τὴν α'. στιχολογίαν.

Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Ὡς ἥλιος λαμπρός, ὡς ἀστὴρ ἑωσφόρος, ἡ μνήμη σου σοφέ, Ἱεράρχα Ἀνδρέα, ἐπέλαμψε τοῖς πέρασι καὶ πιστῶν κατεφώτισε, τὴν διάνοιαν, ταῖς τῶν θαυμάτων ἀκτῖσι, καὶ κατηύφρανε τῶν σὲ τιμώντων ἐκ πόθου, καρδίας ἀοίδιμε.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον. Ὁ αὐτός.

Μαρία ἡ τὰς τρεῖς ἀνηκούστους ἑνώσεις, ἑνώσασα φρικτῶς, παρθενίαν καὶ τόκον, Θεόν τε καὶ τὸν ἄνθρωπον, πίστιν τε καὶ πιστεύουσαν, τοῖς φρικώδεσι τούτοις καρδίᾳ ἀνθρώπου, ἡμᾶς ἕνωσον τῇ τοῦ Υἱοῦ σου ἀγάπῃ, καὶ σῶσον πανύμνητε.

Μετὰ τὴν β'. στιχολ. ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ὥσπερ ἄστρον ἄδυτον καὶ μετὰ πότμον, σῶν δογμάτων λάμψεσι, φωταγωγεῖς διὰ παντός, τῆς Κρήτης πάσης τὸ πλήρωμα, Ἀνδρέα πάτερ, κῆρυξ τῆς χάριτος.

www.tezaurliturgic.ro



Δόξα, τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον. Ὁ αὐτός.

Ἐπληγώθην πάθεσιν ἰάτρευσόν με, ἐν κακοῖς ἀπόλλυμαι, σῶσόν με Μῆτερ τοῦ Θεοῦ, ἡ τὸν Σωτῆρα κυήσασα, καὶ ἰατῆρα τῶν νόσων πανύμνητε.

Μετὰ τὸν Πολυέλεον. Ὁ αὐτός.

Ἐξ ἑῴας ἔλαμψας, Ἀνδρέα πάτερ, καὶ τὴν Κρήτην ἅπασαν, καταφωτίζεις νοητῶς, βολαῖς τῶν θείων δογμάτων σου, καὶ ἰαμάτων ταῖς χάρισιν ἔνδοξε.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, τὸ ἀνωτέρω Θεοτοκίον.

Ὁ κανὼν τῆς Θεοτόκου καὶ τῶν Ἁγίων Πάντων.

Καταβασίαι: Ἀνοίξω τὸ στόμα μου. Ἀφ' ἕκτης ᾠδῆς.

Κοντάκιον καὶ Οἶκος. Ζήτει ἐν σελ. 234.

Τῇ 4 Ἰουλίου μνήμην ἐπιτελοῦμεν τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἀνδρέου, Ἀρχιεπισκόπου Κρήτης τοῦ Ἱεροσολυμίτου.

» Θανὼν ἐφεῦρε τῶν πόνων στέφος μέγα
» Κρήτης ὁ ποιμήν, οὗ πόνος κανὼν μέγας.
» Τῇ δὲ τετάρτῃ ἀρχιθύτην μόρος Ἀνδρέαν εἷλε.

Ταῖς τοῦ σοῦ Ἱεράρχου πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

---

## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ.

Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ἀρχιερέων κλέος, καὶ τῶν πτωχῶν προασπιστής, σὺ ἀνεδείχθης Ἀνδρέα, Πάτερ καὶ στήλη ἀρετῶν· διὸ μνημόνευε πάντων, τῶν ἀνυμνούντων σε πόθῳ.

Θεοτοκίον.

Ὁ γλυκασμὸς τῶν ἀγγέλων, τῶν θλιβομένων ἡ χαρά, χριστιανῶν ἡ προστάτις, Παρθένε μήτηρ Κυρίου· ἀντιλαβοῦ μου καὶ ῥῦσαι, τῶν αἰωνίων βασάνων.



Οἱ Αἶνοι τοῦ Ἁγίου Εὐμενίου. Δόξα, τοῦ Ἁγίου· ἦχος α'.

Ἀγάλλου ἐν Κυρίῳ ἡ μεγαλόνησος Κρήτη, ἀπόδυσαι τὸν πενθήρη σάκκον, καὶ χιτῶνα εὐφροσύνης περίζωσαι· εἰ γὰρ καὶ θρόνος τοῦ Σατανᾶ γεγένησαι πρότερον κατὰ τὸ γεγραμμένον, καὶ τὸ σκότος εἰσέτι φέρεις τῆς ἀσεβείας, ἀλλ' ἰδοὺ καὶ πολιοῦχον πλουτεῖς θαυμαστόν, Ἀνδρέαν τὸν λαμπρὸν Ἱεράρχην καὶ πάνσοφον, ἀντίπαλον τῆς ἀσεβείας καὶ τῆς εὐσεβείας ὑπέρμαχον· ἰατρὸν ἀδάπανον ψυχῶν τε καὶ σωμάτων, καὶ ἀεὶ πρεσβεύοντα τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον, Ἁμαρτωλῶν τὰς δεήσεις.

Δοξολογία μεγάλη, καὶ ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν.

Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Χρυσοστόμου.

Κοινων: Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

---

Ἰδιόμελον τοῦ Ἀποστόλου Τίτου. Ἦχος β'.

Τῆς Ἐκκλησιαστικῆς Ἱεραρχίας, τὴν τελεσιουργὸν τὸ πρὶν κληρωσάμενος δύναμιν, Τῖτε Ἀπόστολε, ψήφοις τοῦ πρώτου Ἱεράρχου Χριστοῦ καὶ χειρῶν ἐπιθέσει τῶν Ἱερῶν Ἀποστόλων, ἐν ὑλαίοις συμβόλοις ἀνθρωποπρεπῶς αὐτῷ ἐπὶ γῆς ἱερούργησας· νῦν δὲ τῆς ὕλης λυθείς, τῆς οὐρανίου Ἱεραρχίας τὴν ὑπερκόσμιον ἐνέργειαν εἴληφας, ἐν πρώτῃ μετουσίᾳ τῆς γνώσεως δι' ἀκραιφνοῦς καὶ ἀΰλου νοός, ἀγγελοπρεπῶς λειτουργῶν τῷ τελετάρχῃ Ἰησοῦ· ᾧ καὶ πρεσβεύεις ἀδιαλείπτως, δωρηθῆναι εἰρήνην τοῖς ἐν Κρήτῃ οἰκοῦσι, καὶ πᾶσι τοῖς πιστοῖς τὸ μέγα ἔλεος.

Τροπάριον Τῶν 4 Ἱεραρχῶν. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Φωστῆρες ὑπέρλαμπροι τῆς Ἐκκλησίας Χριστοῦ, τῇ Κρήτῃ ἐδείχθητε μακαριώτατοι, ποιμένες τετράριθ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



μοι, τήξαντες τὰς αἱρέσεις κακοδόξων δυσφήμων, σβέσαντες τὰς φλογώδεις τῶν βλασφήμων συγχύσεις· διὸ ὡς Ἱεράρχαι Χριστοῦ, πρεσβεύσατε σωθῆναι ἡμᾶς.

Τοῦ Ἁγίου Ἰωάννου τοῦ Ἐρημίτου.
Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.

Μονάσας θεαρέστως ἐναρέτως ἐβίωσας, καὶ χάριν ἰαμάτων ἐκομίσω Ἰωάννη, θαυμάσια τελέσας φοβερά· μονὴν δὲ συγκροτήσας ἱεράν, προσενήνοχας Κυρίῳ τῶν μοναζόντων πληθὺν παναοίδιμε. Δόξα τῷ ἀναδείξαντί Σε ἱερόν, δόξα τῷ Σὲ ἁγιάσαντι, δόξα τῷ ἐν τῇ Κρήτῃ Σε προστάτην, καὶ φύλακα θερμὸν ἀναδείξαντι.

Τῶν 10 μαρτύρων Κρήτης. Ἦχος δ'. Ὁ ὑψωθείς.

Συμπεφραγμένοι ἀνδρικῶς πρὸς ἀνόμους, συντεταγμένοι λογικῶς πρὸς ἀθέους, τὴν πανοπλίαν ἤρασθε Χριστοῦ τοῦ Θεοῦ, πίστιν μὲν ὡς μάχαιραν ἐπὶ χεῖρα λαβόντες, ἀσπίδα τὴν ἐλπίδα δὲ τεθεικότες ἐπ' ὤμων, καὶ τῆς ἀγάπης θώρακα σαφῶς, φέροντες Κρήτης δεκάριθμοι μάρτυρες.

Τῶν 4 μαρτύρων. ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Ἐναντίον ἀνόμων ἐμαρτυρήσατε, τὸν τῶν ὅλων Δεσπότην, Σεπτοὶ τετράριθμοι, μὴ φεισάμενοι σαρκὸς αἰκιζομένης φοβερῶς, ἀθλοφόροι τοῦ Χριστοῦ, τῶν οὐρανίων στρατιῶν συμμέτοχοι καὶ τῆς δόξης, τῆς ἀληθοῦς κληρονόμοι, καὶ Κρήτης πάσης ὑπέρμαχοι.

# ΠΙΝΑΞ ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ.


—Ἀκολουθία τοῦ ἁγίου ἐνδόξου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ματθαίου, μετά τινων μεγαλυναρίων, ψαλλομένη τῇ 16 Νοεμβρίου — σελ. 1

—Ἀκολουθία τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν, Τίτου, Κυρίλλου, Εὐμενίου καὶ Ἀνδρέου, Ἀρχιεπισκόπων Κρήτης τοῦ θαυματουργοῦ ψαλλομένη τὴν 25 Αὐγούστου. — » 45

—Ἀκολουθία τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν, Μύρωνος, Ἐπισκόπου Κνωσοῦ Κρήτης τοῦ θαυματουργοῦ, ψαλλομένη τῇ 8 ~~Αὐγούστου~~ Αὐγούστου — « 69

—Ἀκολουθία τῶν Ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν, Ἰωάννου τοῦ Ἐρημίτου καὶ τῶν συνασκητῶν αὐτοῦ 98, τῶν ἐν τῇ Κρήτῃ λαμψάντων, ψαλλομένη τῇ 7 Ὀκτωβρίου. — » 101

—Ἀκολουθία τῶν Ἁγίων ἐνδόξων καὶ πανευφήμων δέκα μαρτύρων τῶν ἐν Κρήτῃ ἀναιρεθέντων, ψαλλομένη τῇ 23 Δεκεμβρίου. — » 139

—Ἀκολουθία, τῶν Ἁγίων 4 νέων τοῦ Χριστοῦ μαρτύρων, Ἀγγελῆ, Μανουὴλ, Γεωργίου, καὶ Νικολάου, τῶν ἐν Ῥεθύμνῃ τῆς Κρήτης μαρτυρησάντων, ψαλλομένη τῇ 28 Ὀκτωβρίου — « 153

—Ἀκολουθία, τῶν Ἁγίων Πάντων — « 175

—Εὐαγγέλια καὶ Ἀπόστολοι εἰς διαφόρους μνήμας Ἁγίων — « 202

—Ἀκολουθία Νεκρώσιμος. — » 217

—Εὐχὴ τοῦ Ἁγίου Μοδέστου λεγομένη εἰς πᾶσαν ἀσθένειαν ἢ βλάβην ζώου. — » 229

—Εὐχὴ εἰς τὸν Ἅγιον Τρύφωνα λεγομένη εἰς πᾶσαν βλάβην ἀγρῶν, κήπων, ἀμπελώνων, καὶ δένδρων. — » 231


ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

ΤΩΝ ΕΝΕΝΗΚΟΝΤΑ ΕΝΝΕΑ

## ΟΣΙΩΝ ΚΑΙ ΘΕΟΦΟΡΩΝ ΠΑΤΕΡΩΝ

ΤΩΝ ΕΝ ΚΡΗΤΗ ΑΣΚΗΣΑΝΤΩΝ

ΕΞ ΑΡΧΑΙΟΥ ΧΕΙΡΟΓΡΑΦΟΥ ΕΚΔΟΘΕΙΣΑ

ὑπὸ

ΝΕΣΤΟΡΟΣ ΙΕΡΟΔΙΑΚΟΝΟΥ ΒΑΣΙΛΑΚΗ

Τοῦ Κρητὸς

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΝ ΗΡΑΚΛΕΙΩ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΗΣ «ΠΡΟΟΔΟΥ.»

1879.

www.tezaurliturgic.ro

## ΕΝ ΜΗΝΙ ΟΚΤΩΒΡΙΩι Ζ΄.

Μνήμην ἐπιτελοῦμεν τῶν ἐν Κρήτῃ ἀσκησάντων ἐνενήκοντα ἐννέα Ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν.

Ἐν τῷ μεγάλῳ ἑσπερινῷ μετὰ τὸν προοιμιακὸν ψαλμὸν τὸ, Μακάριος ἀνὴρ, τὸ α΄.

Ἀντίφωνον. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν σίχ: η΄. καὶ ψάλλομεν προσόμοια τῶν Ὁσίων δ΄.

Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Πατέρες πανάγιοι, χορὸς ἀσκητῶν γεγόνατε Κρήτην λαμπρύναντες, καὶ σκηνώσαντες ἐν μοναῖς ὁσίων, ἔνθα φῶς τὸ ἄδυτον τὸ ξύλον τῆς ζωῆς, ἔνθα περ καὶ νῦν ἱκετεύσατε δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Πατέρες πανεύφημοι σαρκὸς τὰς ὁρμὰς ἀσκήσεσι μαράναντες ταῖς πρὸς τὸν Κύριον, Κρήτην οἰκήσαντες, ὡς

www.tezaurliturgic.ro



Ἠλίας πάλαι τὸν νοῦν καθαιρόμενοι ἀπαύστως πρὸς τὸ θεῖον ταῖς νεύσεσι νῦν ἱκετεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Πατέρες ὑπάρχετε Χριστοῦ ἐξ ἑῴας, λάμψαντες, φωτίζετε τὴν ὑφήλιον θαυμάτων λάμψεσι· ψυχοφθόρον νόσον, ζόφωσιν διώκοντες, δαιμόνων ἐκμειοῦντες μαυρότητα νῦν ἱκετεύσατε δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Πάντα κατελείπατε τερπνά, Χριστὸν ἀγαπήσαντες, οὗ ψυχικῶς ἠκολούθητε ὀπίσω ἔνδοξοι, ὡς Θηβαῖος Παῦλος, ᾧ καὶ προσηνέχθητε ὡς θύματα δεκτὰ καὶ ὁλόκληρα, ὃν ἱκετεύσατε δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

## Τοῦ Ἁγίου ὁ αὐτός. Τῶν οὐραν. ταγμάτων.

Λαμπρᾷ φωνῇ δεῦτε πάντες Κρητῶν ὁ σύλλογος, καὶ ἐν φωναῖς ᾀσμάτων, ἐν ναῷ τοῦ Κυρίου, ὑψώσωμεν τὰς χεῖρας, καὶ δόξαν Θεῷ ἀναπέμψωμεν σήμερον, τῷ δόντι ῥύστιν καὶ μέγαν φρουρόν, Ἰωάννην τὸν πανένδοξον.

Σήμερον τέρπεται πόλις Κυδωνία πιστῶς, κατέχουσα ἐν κόλποις τὸν ἀσύλητον πλοῦτον, τὸν μέγαν Ἰωάννην τὸν θαυμαστόν, καὶ εἰς γῆν καὶ εἰς θάλασσαν, καὶ δι' αὐτοῦ συγκαλεῖτε πάντας ἡμᾶς τοῦ δοξάσαι σὺν αὐτῷ τὸν Θεόν.

Τὴν παμφαῆ καὶ ἁγίαν τερπνὴν πανύγηριν τὴν πάγκαλον εἰκόνα οἱ πιστοὶ τοῦ ἁγίου, ἅπαντες προσκυνοῦμεν αὐτὴ γὰρ πηγάζει ἰάσεις ψυχῶν καὶ σωμάτων τοῖς ψάλλουσιν, καὶ μετὰ πόθου καρδίας τιμῶσιν αὐτὴν ὡς ἀντίτυπον αὐτοῦ τῆς μορφῆς.



Ταῖς τῶν θαυμάτων ἀκτῖσι πᾶσαν φωτίζει τὴν γῆν, τοὺς ἐν θαλάσσῃ ὄντως βοηθεῖ καθ' ἑκάστην, νοσήματα διώκει, παύει ψυχῶν, καὶ σαρκὸς ἀρρωστήματα, παρὰ Κυρίου τὴν χάριν ἀνειληφὼς Ἰωάννης ὁ πανένδοξος.

## Δόξα τῶν Ὁσίων ἦχος πλ: β'.

Ὅσιοι Πατέρες, μελετήσαντες ἡμέρας καὶ νυκτὸς ἐν νόμῳ Κυρίου, ἠξιώθητε τοῦ ξύλου τῆς ζωῆς σύμμορφοι γενόμενοι, καὶ ὁ καρπὸς ὑμῶν γλυκύς, ἀθλήσεως στεφάνους νομίμως ἐλάβετε, παρρησίαν ἔχοντες πρὸς τὸν ἀγωνοθέτην Θεόν, καὶ ἡμῖν αἰτήσασθε ἱλασμὸν ἁμαρτιῶν καὶ τὸ μέγα ἔλεος.

## καὶ νῦν Θεοτοκίον ἦχος ὁ αὐτός.

Συγχάρητε ἡμῖν ἅπασαι αἱ τῶν παρθένων χοροστασίαι, ἡ προστάτρια γὰρ ἡμῶν καὶ μεσίτρια τοῦ κόσμου καὶ σκέπη καὶ ἀντίληψις, τὴν σήμερον ἡμέραν ἐν τῇ σεπτῇ καὶ θείᾳ χαρμοσύνῃ τῶν θλιβομένων παραμυθεῖται· ὅθεν κατὰ χρέος αὐτῇ βοήσωμεν, φρούρησον ἡμᾶς ἐν τῇ θείᾳ μεσητείᾳ σου, ἄχραντε θεοτόκε Δέσποινα.

Εἴσοδος Προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν

www.tezaurliturgic.ro



βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας· οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν· καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφία Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Κατακρινεῖ δίκαιος ἀποθανὼν τοὺς ζῶντας ἀσεβεῖς· ὄψονται γὰρ τελευτὴν δικαίου καὶ οὐ συνήσουσι τί ἐβουλεύσαντο περὶ αὐτοῦ. Ὅτι ῥήξει Κύριος τοὺς ἀσεβεῖς ἀφώνους πρηνεῖς, καὶ σαλεύσει αὐτοὺς ἐκ θεμελίων, καὶ ἕως ἐσχάτου χερσωθήσονται ἐν ὀδύνῃ, καὶ ἡ μνήμη αὐτῶν ἀπολεῖται. Ἐλεύσονται γὰρ ἐν συλλογισμῷ ἁμαρτημάτων αὐτῶν δειλοί, καὶ ἐλέγξει αὐτοὺς ἐξ ἐναντίας τὰ ἀνομήματα αὐτῶν. Τότε στήσεται ἐν παῤῥησίᾳ πολλῇ ὁ δίκαιος κατὰ πρόσωπον τῶν θλιψάντων αὐτον, καὶ τῶν ἀθετούντων τοὺς πόνους αὐτοῦ. Ἰδόντες ταραχθήσονται φόβῳ δεινῷ, καὶ ἐκστήσονται ἐπὶ τῷ παραδόξῳ τῆς σωτηρίας αὐτοῦ. Ἐροῦσι γὰρ ἐν αὐτοῖς μετανοοῦντες καὶ διὰ στενοχωρίαν στενάξουσι καὶ ἐροῦσιν· Οὗτος ἦν, ὃν ἔσχομεν ποτὲ εἰς γέλωτα, καὶ εἰς παραβολὴν ὀνειδισμοῦ οἱ ἄφρονες: Τὸν βίον αὐτοῦ ἐλογισάμεθα μανίαν, καὶ τὴν τελευτὴν αὐτοῦ ἄτιμον. Πῶς δὲ κατελογίσθη ἐν υἱοῖς Θεοῦ καὶ ἐν Ἁγίοις ὁ κλῆρος αὐτοῦ ἐστιν; Ἄρα ἐπλανήθημεν ἀπὸ ὁδοῦ ἀληθείας καὶ τὸ τῆς δικαιοσύνης φῶς οὐκ ἔλαμψεν ἡμῖν, καὶ ὁ ἥλιος οὐκ ἐνέτειλεν ἡμῖν. Ἀνομίας ἐνεπλήσθημεν τρίβου καὶ ἀπωλείας, καὶ ὡδεύσαμεν τρίβους ἀβάτους· τὴν δὲ ὁδὸν Κυρίου οὐκ ἔγνωμεν.



## Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν καὶ θνητός, ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστὶ λίθων πολυτελῶν· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν· Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπι γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ· καὶ μακάριος ἄνθρωπος ὡς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου ἔξοδοι ζωῆς καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλήν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμοὶ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ· οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν: Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ

www.tezaurliturgic.ro



ἀπαίδευτοι ἔνθεσθε καρδίαν· Εἰσακούσατέ μου καὶ πάλιν. σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου· ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐταῖς σκολιὸν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

## Εἰς τὴν Λιτὴν, Στιχηρὰ Ἰδιόμελα Ἦχος ά.

Εὐφραίνου ἐν Κυρίῳ στῖφος τῶν μοναζόντων· ἡ ποίμνη δὲ χόρευε ἐν Χριστῷ ἡ ἐν τῇ Κρήτῃ κατέχουσα ἐν κόλποις ὡς θησαυρὸν ὑπέρλαμπρον τῆς εὐσεβείας τοὺς Ἁγίους πατέρας καὶ σοφοὺς ἀσκητὰς ἀνάμνησιν τῶν αὐτῶν κατορθωμάτων τοὺς ἀγῶνας καὶ κήρυττε τὰ θαύματα τὰ ἑαυτῶν σοὶ τελούμενα ἀπαύστως καὶ εὐχαρίτως Σωτῆρι ἀνάκραξον, Κύριε δόξα σοι.

Τῶν ἀσκητῶν τὸ κλέος καὶ τῆς ἐρήμου τὸ θρέμμα Ἰωάννην τιμήσωμεν τὸν ἀοίδιμον, τὸν ἐν Κρήτῃ φανέντα ἀστέρα ἀπλανῆ ᾄσμασι πνευματικοῖς ὑμνήσωμεν λέγοντες· χαίροις ὁ τῶν νοσούντων ἰατρὸς ἐμπειρότατος, καὶ τῶν ἐν ἀνάγκαις προστάτης ἀκαταίσχυντος, χαίροις πλεόντων ἀχείμαντος λιμὴν, χαίροις Κυδωνίας τὸ καύχημα καὶ τῆς οἰκουμένης τὸ ἀγλάϊσμα.

### Ἦχος πλ. δ'.

Κύριε, σοῦ τῇ ἀκινήτῳ δυνάμει κραταιωθέντες οἱ ὅσιοι



τοὺς ὑπὲρ φύσιν ἀγῶνας γενναίως ἐνεκαρτέρησαν καὶ τοὺς στεφάνους αὐτῶν τῆς ἀσκήσεως ἐνεδύσαντο διὰ τοῦτο εἰς αἰῶνας δοξάζουσι τὴν δυναστείαν σου.

### Ἦχος πλ. δ'.

Ὅσιε πάτερ Ἰωάννη μακάριε. Τίς ἐγκωμιάσει τὴν ἔνδοξόν σου ἄσκησιν, τίς ἐξείπει τὰ θεῖά σου κατορθώματα ἐν σώματι ὄντως ἄγγελος ἀνεδείχθης, νηστείᾳ γὰρ ἀγρυπνίᾳ καὶ προσευχῇ τὰ πάθη ἐνέκρωσας, τοῦ ἁγίου πνεύματος δοχεῖον γέγονας ἀκηλίδωτον, ὅθεν οὐρανίων χαρισμάτων ἀμοιβὴν κομισάμενος πρέσβευε ὑπὲρ ἡμῶν τῶν πιστῶς ἐκτελούντων τὴν πανίερον μνήμην σου.

### Δόξα. Ἦχος πλ. δ'.

Τῶν Ἁγίων πατέρων ὁ χορὸς ἐκ τῶν τῆς οἰκουμένης περάτων συνδραμὼν ἐν μιᾷ πίστει καὶ καρδίᾳ, διὰ σαρκὸς τὸν ἄσαρκον ἐχθρὸν ἐτροπώσαντο καὶ τοὺς τῆς νίκης στεφάνους ἐν μιᾷ ῥοπῇ παρὰ τοῦ στεφανοδότου Χριστοῦ ἔλαβον, οὓς εὐφημοῦντες ἐν πίστει μακαρίσωμεν λέγοντες, ὦ θεία παρεμβολὴ, θεηγόροι ὁπλῖται παρατάξεως Κυρίου, ἀστέρες πολύφωτοι τοῦ νοητοῦ στερεώματος, τὰ μυρίπνοα ἄνθη τοῦ παραδείσου τῆς Κρήτης τὸ καύχημα, Κυδωνίας ἀγλάϊσμα, ἐκτενῶς πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

καὶ νῦν, Δέσποινα πρόσδεξαι.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου καὶ τὰ ἑξῆς.

Εἰς τὸν στῖχον προσόμοια στιχηρά. Ἦχος β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν. Ὅτε ἐπεφώτισεν ὑμᾶς,

www.tezaurliturgic.ro



Πνεῦμα τὸ πανάγιον, ὄντως πατέρες ἅγιοι, καὶ κατελαμπρύνθητε τῇ θείᾳ αἴγλῃ αὐτοῦ, τότε πάντες συνήχθητε, ἐκ γῆς τῶν περάτων, σώσοντες βουλόμενοι ἡμῶν τὰ σπέρματα, φθάσαντες τὰ ὄρη τῆς Κρήτης, ἔνθα μέχρι τέλους Κυρίῳ ψάλλοντες, ὁμοῦ καὶ συνευφραίνεσθε.

ς. Τίμιος ἐναντίον.

Ὅτε κατελήφθη ὑπνωθεὶς, ὁ εἷς ἀδελφός, ἐν τῇ Γαύδῳ ἐπιλαθόμενος, τότε μετὰ πίςεως, ἐκ τῶν τῆς Κρήτης βουνῶν, οἱ Πατέρες ἐβόησαν, ἀδελφὲ Ἰωάννη, ἐλθὲ καὶ μὴ δίςασον, θαλάσσης ὅρμημα ἔχεις τὸν Χριςὸν κυβερνήτην, τὸν ἐξουσιάζοντα πάντων, καὶ γῆς καὶ θαλάσσης καὶ τοῖς Πνεύμασι.

ς. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ ἐθαυμάστωσεν.

Μέγα καὶ φρικῶδες, θεῖον καὶ ἐξαίσιον ὄντως τὸ θαῦμα, ὦ ἀδελφοὶ, ὁ ἐρημικώτατος, καὶ πανευσεβὴς Ἰωάννης, ἐπὶ νότου ἐβάδιζε θαλάσσης ἀτρόμως, μᾶλλον ἀγαλλόμενος, ψάλλειν σπουδάζων, ὅπως εἰς τὴν Κρήτην ἐγγίσῃ καὶ συνοικήσῃ τοῖς ἀδελφοῖς, ἵνα μὴ αὐτοῖς γείνῃ παρήκοος.

## Δόξα. Ἦχος πλ: δ'.

Δεῦτε τῶν ἀσκητῶν ὁ σύλλογος, καὶ τῶν Κρητῶν ὁ κατάλογος, Ἰωάννην τὸν πανεύφημον πιστῶς ἀνευφημήσωμεν· οὗτος γὰρ ὡς ἄλλος Μωσῆς τῇ συμμαχίᾳ τοῦ Σταυροῦ, τὴν ὑγρὰν ὡσεὶ ξηράν, ἀβρόχοις διοδεύσας ἴχνεσι, τὸν νοητὸν Φαραὼ κατεβύθισε καὶ τὴν Γαῦδον καὶ τὴν Αἴγυπτον διαφυγών, εἰς τὰ τῆς Κρήτης ὄρη, ὡς εἰς Σινᾶ ἐλθὼν κατῴκησεν, ἔνθα μέχρι τελευταίας αὐτοῦ ἀναπνοῆς, τὴν δοξολογίαν τῷ Σωτῆρι Θεῷ εὐχαρίστως ἀνέπεμπεν.



Ἀλλὰ καὶ νῦν αὐτῷ παριστάμενος, ἀεννάως δοξολογεῖ τὸν ποθούμενον, ὑπὲρ τοῦ κόσμου πρεσβείαν ποιούμενος. πάντες οὖν τὸ σεπτὸν αὐτοῦ καὶ ἅγιον λείψανον ἀσπαζώμεθα δεόμενοι ἀπὸ πάσης ἀνάγκης ἡμᾶς ἅγιε λύτρωσαι, τοὺς ἐκ πόθου ἐκτελοῦντας τὴν πανίερον μνήμην σου.

καὶ νῦν Θεοτοκ. ὁ αὐτός.

Μετὰ τὸ τεχθῆναί σε Θεόνυμφε Δέσποινα παρεγένου ἐν ναῷ Κυρίου τοῦ ἀνατραφῆναι εἰς τὰ ἅγια τῶν ἁγίων ὡς ἡγιασμένη ὅτε δὲ Γαβριὴλ ἀπεστάλη πρὸς σὲ τὴν πανάμωμον, τὰ οὐράνια πάντα ἐξέστησαν, ὁρῶντα τὸ Πνεῦμα τὸ ἅγιον ἐν σοὶ σκηνῶσαν. Διὸ ἄσπιλε ἀμόλυντε, ἡ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς δοξαζομένη, μήτηρ Χριστοῦ τοῦ Θεοῦ, σῶζε τὸ γένος ἡμῶν.

## νῦν ἀπολύοις. τὸ Ἀπολυτ. Τοῦ λίθου σφραγισ.

Τοὺς τῆς Κρήτης Πατέρας καὶ ἀγγέλους ἐν σώματι, ὁμολογητὰς καὶ ὁσίους, ἀσκητάς τε καὶ μάρτυρας, ὑμνήσωμεν ἐν ὕμνοις καὶ ᾠδαῖς μιμούμενοι αὐτῶν τὰς ἀρετάς, ἡ τῆς Κρήτης πληθὺς πᾶσα τῶν μοναστῶν κραυγάζοντες ὁμοφώνως δόξα τὸ στεφανώσαντι ὑμᾶς δόξα τὸ ἁγιάσαντι δόξα τὸ εὐεργετοῦντι δι' ὑμῶν πᾶσιν ἰάματα.

## Εἰς τὸν Ὄρθρον μετὰ τὴν ά. στιχολογίαν Κάθισμα· ἦχος δ'. Κατεπλάγη Ἰωσὴφ

Ἐβαπτίσθητε τρισσῶς τὸ τρίτον βάπτισμα σαφῶς δι' ὑ-

www.tezaurliturgic.ro



δάτων καὶ πυρὸς καὶ θείου πνεύματος τὸ πρίν· τὸ τῶν δακρύων τὸ δεύτερον ἐν τῇ Κρήτῃ ἀσκήσαντες στερρῶς καὶ διανύσαντες ἰσάγγελον ἐν γῇ βίον μακάριον, καὶ ὥσπερ θεῖα θύματα τὸ τρίτον, ἐν τῷ σπηλαίῳ τεθέντες Χριστῷ τῷ Θεῷ, αὐτὸν ἀπαύστως ἐκδυσωπεῖτε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

## Δόξα τὸ αὐτὸ καὶ νῦν Θεοτοκίον ὅμοιον.

Ἡ ἀμίαντος ἀμνάς, καὶ ἀκηλίδωτος παστάς, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἡ Θεοτόκος Μαριάμ, μετ' εὐφροσύνης εἰσάγεται παραδόξως. Καὶ ἄγγελοι πιστῶς δορυφοροῦσιν αὐτήν, καὶ πάντες οἱ πιστοὶ μακαριοῦσιν αὐτήν, καὶ εὐφροσύνως ψάλλουσι μεγάλῃ τῇ φωνῇ, ἡμῶν ἡ δόξα καὶ σωτηρία Σὺ ὑπάρχεις πανάμωμε.

## Μετὰ τὴν β'. στιχολ. κάθισμα ἦχος α'.

## Τὸν τάφον σου Σωτήρ.

Ὑμνοῦμεν τὴν σεπτὴν καὶ ἁγίαν σου μνήμην, τὴν πᾶσι τοῖς πιστοῖς χορηγοῦσαν ἀφθόνως τὴν ἴασιν μακάριε, τοὺς ἐκ πόθου κραυγάζοντας σῶσον ἅγιε, ἡμᾶς τοὺς δούλους σου σῶσον, ταῖς πρεσβείαις σου ταῖς πρὸς Θεόν, Ἰωάννη τῆς Κρήτης τὸ καύχημα.

## Δόξα τὸ αὐτό. Καὶ νῦν Θεοτοκίον ὅμοιον.

Τὸν πάντων ποιητὴν τὸν Θεόν σου καὶ κτίστιν, πανάμωμε ἁγνή, διὰ πνεύματος θείου ἐν μήτρᾳ σου ἐχώρησας καὶ φθορᾶς δίχα τέτοκας, ὃν δοξάζοντες σὲ ἀνυμνοῦμεν



Παρθένε, ὡς παλάτιον τοῦ βασιλέως τῆς δόξης καὶ κόσμου ἀντίλυτρον.

Μετὰ τὸν πολυέλαιον κάθισμα Ἦχος δ'.

Ἐπεφάνης σήμερον.

Τῶν Κρητῶν προΐστασθε σκέποντες τούτους ἀπὸ πάσης θλίψεως, ἀπολυτρούμενοι αὐτούς, καὶ ἐκ φθορᾶς καὶ κακώσεως πατέρες θεῖοι τῆς Κρήτης ὑπέρμαχοι.

Δόξα, τὸ αὐτὸ καὶ νῦν Θεοτοκίον· ὅμοιον.

Προστασία ἄμαχε, τῶν ἐν ἀνάγκαις καὶ πρεσβεία ἕτοιμος, τῶν ἐλπιζόντων ἐπὶ σέ, ἀπὸ κινδύνων ἡμᾶς λύτρωσαι, καὶ μὴ παρόψῃ ἡ πάντων βοήθεια.

Ἐκ νεότητός μου. καὶ τὰ ἑξῆς προκείμενον ἦχος δ'.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.

Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων.

Πᾶσα πνοή, καὶ τὸ Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον Εἶπεν ὁ κύριος τοῖς ἑαυτοῦ μαθηταῖς Πάντα μοὶ παρεδόθη.

Τέλος Καὶ τὸ φορτίον μου ἐλαφρὸν ἐστί.

(Ζήτει Ἰανουαρίου 17)

Δόξα. Ταῖς τῶν σῶν ὁσίων. Καὶ νῦν Ταῖς τῆς Θεοτόκου. Ἐλεήμων ἐλέησόν με ὁ Θεός. πρὸς τὸ ἀναστὰς ὁ Ἰησοῦς.

## Ἦχος β'.

Τοὺς πατέρας ἀδελφοὶ τοὺς ἐν τῇ Κρήτῃ σὺν Ἰωάννῃ τῷ συνασκητῇ τούτων πάντες εὐλαβῶς ἀνευφημήσωμεν.

www.tezaurliturgic.ro



Κυρίῳ ᾠδή ά.

Δεῦτε λαοὶ ἄσωμεν Χριστῷ τῷ Θεῷ τῷ διελόντι θάλασσαν καὶ ὁδηγήσαντι τὸν λαὸν ὃν ἀνήγαγεν δουλίας Αἰγυπτίων, ὅτι δεδόξασται.

Δίς.

Τοὺς εὐσεδῶς Σὲ Θεοτόκον ἁγνὴν, ὁμολογοῦντας ἄχραντε, ψυχῇ καὶ σώματι, χαλεπῶν ἐκ κινδύνων καὶ νόσων πολυτρόπων, διάσωσον.

Ὅλην ἐν Σοὶ συλλογὴν τῶν χαρισμάτων τοῦ Πνεύματος, ἀποκειμένην ἔγνωμεν, διὸ προσφεύγοντες Θεοτόκε προθύμως, τῇ σκέπῃ σου τῇ θείᾳ διασωζόμεθα.

Ὑπὲρ ἡμῶν τῶν σὲ ὑμνούντων δυσώπησον, τον σαρκωθέντα Πάναγνε, ἐκ τῶν ἀχράντων σου καὶ ἁγίων αἱμάτων, ῥυσθῆναι ἐκ πταισμάτων καὶ νοσημάτων πικρῶν.

Σὲ τῶν πιστῶν καύχημα, πάντες κεκτήμεθα, καταφυγὴν καὶ στήριγμα καὶ ἀγαλλίαμα, καὶ ψυχῶν σωτηρίαν ἐλπίδα τε καὶ τεῖχος Θεομακάριστε.

## Ὁ κανὼν τῶν ἁγίων Πατέρων εἰς δ'. ἦχος καὶ εἱρμὸς ὁ αὐτός.

Δεῦτε πιστοὶ, δεῦτε φιλέορτοι σήμερον, δεῦτε Κρητῶν ὁ Σύλλογος, Κυδωνίας σύνταγμα τοὺς ἁγίους Πατέρας ἐν ὕμνοις εὐχαρίστοις, ἐγκωμιάσωμεν.

Λόγοις ἡμᾶς τοὺς ἐπὶ γῆς μακαρίζοντας, παθῶν ἀλόγων ῥύσασθε, ταῖς πρεσβείαις ὑμῶν παμμακάριστοι, μύσται τοῦ λόγου, τοῦ ἀνάρχου θεῖοι γενόμενοι.

Ὅλοι ἡμεῖς τῷ Ποιητῇ ἀνατίθεσθε, ὅλον ψυχῆς τὸν ἔ-



ρωτα κατεκενώσατε, εἰς αὐτὸν διὰ τοῦτο τοῦ πνεύματος τὴν χάριν ὅλην ἐδέξασθε.

Σωματικῶς ἀποτεκοῦσα τὸν ἄσαρκον, Θεογεννήτωρ Ἄχραντε ἐ τῶν σαρκῶν ἡμᾶς ψυχικῶν κηλίδων ἀπόπλυνον, ῥανῖσι θείαις πρεσβείαις σου.

## Ἄλλος τοῦ Ἁγίου. Ποίημα Γαβριὴλ ἱερομονάχου τοῦ Ῥοδίου. Ὠδὴ α'. ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Ἀκτῖνα μοὶ βράβευσον, φωτοειδῆ ἀκατάληπτε, Τριὰς ἡ φωτίζουσα, τὴν κτῆσιν ἅπασαν, τὴν πανήγυριν τοῦ θείου Ἰωάννου, ὅπως δι' αἰνέσεων ἐγκωμιάσωμεν.

Μονὴν τὴν ἀέναον ἡ σὺ ψυχὴ ἐπεθύμησε, τῆς ἄνω μακάριε ἁγίας λήξεως, ἔνθα πέφυκε χορὸς ὁ τῶν ἁγίων ὅθεν ἀγαλλόμενος αὐτὴν καὶ κλήρωσε.

### Δόξα.

Ἀνδρείως ἐπάλευσας τοῦ διαβόλου παλέμασι, διὸ καὶ νενίκηκας τῇ βοηθείᾳ σοφὲ τοῦ παντάνακτος Χριστοῦ τοῦ ἀθλοθέτου, παρ' οὗ τὸ διάδημα, νομίμως εἴληφας.

### καὶ νῦν ὁ αὐτὸς

Ῥῦσε ἡμᾶς ἄχραντε, πάσης ὀργῆς πάσης θλίψεως, καὶ πάσης κακώσεως, καὶ ἐκ παντὸς πειρασμοῦ, τοὺς ἱκέτας σου παρθένε Θεοτόκε, ἵνα σου τὸν ἄσπορον τόκον δοξάζωμεν.

ΕΛΛΗΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΠΑΣΤΡΑΤΕΙΟΣ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡ...

www.tezaurliturgic.ro



## Καταβασίαι. Ἀνοίξω τὸ στόμα μου ᾠδὴ γ'.

### ὁ εἱρμός.

Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε, ὁ ξύλῳ νεκρώσας τὴν ἁμαρτίαν, καὶ τὸν φόβον σου ἐμφύτευσον ἐν ταῖς καρδίαις ἡμῶν, τῶν ὑμνούντων σε. ΔΙΣ

Πρεσβείαις σου ἁγνή, Θεὸν ὃν ἔτεκες, παράσχου εὐίλατον σοῖς ἱκέταις, τοῖς προσφεύγουσι τῇ σκέπῃ σου, καὶ πιστῶς προσκυνοῦσί σου τὴν κύησιν.

Ῥημάτων τῆς ἐμῆς ψυχῆς ἐπάκουσον, παρθένε ἐκ βάθους μου τῆς καρδίας, ἣν προσφέρωσι πανύμνητε, καὶ παθῶν καὶ κινδύνων με διάσωσον.

Ὅλην μου τὴν ζωήν, διακυβέρνησον Παρθένε, ἡ ἐλπίς μου καὶ προστασία, πειρασμῶν καὶ περιστάσεων λυτρουμένη δεινῶν με, θεονύμφευτε.

Σοφίαν τοῦ πατρὸς τὴν ἐνυπόστατον ἐν ἀγκάλαις φέρουσα, θεομήτωρ ἐξ ἀγνοίας καὶ πλάνης λυτρωθῆναι Ἁγνὴ ἡμᾶς· ἱκέτευε.

τῶν ὁσίων· ὁ αὐτός.

Πατέρες ἀγαθοὶ φανέντες ὅσιοι τῶν πίστει ὑμᾶς ἐπικαλουμένων τὰς ψυχὰς ἀπολυτρώσασθε, καὶ σωμάτων πάθη θεραπεύσατε.

Ὁ δοὺς τὰς πρὸς ζωὴν φερούσας ὅσιοι, ὁδεύειν στηρίξατέ με, καὶ πάσης τῶν ἐχθρῶν ἀποπλανήσεως, προσευχαῖς ὑμῶν θείαις διασώσασθε.

Ἀμόμως τὴν ὁδὸν τοῦ βίου ὅσιοι δραμόντες, στενούμενοι κακουχίαις, πρὸς τὸ πλάτος ἐσκηνώσατε τῶν πραέων· διὸ καὶ μακαρίζεσθε.



Μαρία τὸ χρυσοῦν θυμιατήριον, τοῦ θείου ἄνθρακος γενομένη, τὸ δυσῶδες τῆς καρδίας μου, εὐωδίασον, ὅπως μεγαλύνω σε.

## ἄλλος Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

Τὰ σὰ κατορθώματα, τρισμάκαρ, ἀδύνατον γλῶσσα ἐξειπεῖν ἀνθρώπου, ζῶν ὡς ἄγγελος ἐν γῇ, διὸ σὲ ἐδόξασεν, ὁ Παντοκράτωρ Κύριος, ἐπουρανίοις χαρίσμασιν.

Ὡς μέγας φωστήρ, ὦ Ἰωάννη τῆς Κρήτης, ἐξέλαμψας σοφέ, οὐ μόνον ἐν τοῖς ὄρεσιν, ἀλλ' ἐν παντὶ καὶ πάντοτε, αὐγάζων θείαις λαμπρότησιν.

Λύσιν τῶν ἀπείρων μου σφαλμάτων, εὐχαῖς τοῦ Ὁσίου σου μοὶ δός, τὴν τῶν δεσμῶν τοῦ σαρκίου μου, μετὰ τὴν λύσιν Κύριε, ὅπως ζωῆς ἐπιτύχοιμι.

Οὐ κέκτημαι δάκρυα τοῦ κλαῦσαι, τὰ πταίσματα οἴμοι τὰ ἐμά, τὰ τὴν ψυχήν μου βλάπτοντα. Διὸ εἰς Σὲ τὴν εὔσπλαγχνον πᾶσαν ἐλπίδα τίθημι, παντὶ Παρθένε βοήθει μοι.

## Καταβασία τοὺς σοὺς ὑμνολόγους.

## Κοντάκιον τοῦ ἁγίου ἦχος δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Τῶν ἀσκητῶν τὴν καλονήν, καὶ προστάτην Κυδωνιαίων, οἱ πιστοὶ ὁμοφρόνως νῦν Ἰωάννην στέψωμεν, γηθόμενοι σήμερον, ἀπαίρει γὰρ πρὸς τὰς θείας ἐπαύλεις, δωρεὰς

www.tezaurliturgic.ro



ἰάσεων ἀπονέμων τοῖς πίστει, τὴν ἱερὰν πανύγηριν αὐτοῦ ἐπιτελοῦσι καὶ πόθῳ γεραίρουσιν.

Ὁ Οἶκος.

Τὸν τοῦ Χριστοῦ ἀσκητὴν, ἅπαντες ὦ φιλέορτοι, ᾀσματικῶς συνελθόντες, Ἰωάννην ἀνευφημήσωμεν, οὗτος γὰρ τοῦ Σωτῆρος ἡμῶν ἐλαφρὸν φορτίον ἐπ' ὤμων ἀράμενος, καὶ τὴν νεκράν ἀπόλαυσιν ἀποσάμενος, τῷ τὰς ἡμῶν ἁμαρτίας ἐν σταυρῷ καθηλώσαντι, εὐθαρσῶς ἠκολούθησε, καὶ τὰ πάθη νεκρώσας τοῦ σώματος, τὴν ψυχὴν ἀπεφθάρτισεν· συμπολίτης τῶν τῷ Χριστῷ εὐαρεστησάντων γενόμενος πρεσβεύει τοῦ σωθῆναι διηνεκῶς, καὶ εἰρήνην σταθερὰν δωρηθῆναι τῷ κόσμῳ παντὶ, καὶ τὸ μέγα ἔλεος τοῖς οὕτω ἐκ πόθου γεραίρουσιν.

## Κάθισμα τῶν ὁσίων. Χορὸς Ἀγγελικός.

Μακάριον ζωὴν ἐκτελέσαντες, ὄντως ὁσίων τοῖς χοροῖς ἐν τῇ γῇ τῶν πραέων ἀξίως συναυλίζεσθε, θεοφόροι μακάριοι, καὶ τὴν ἔρημον καθάπερ πόλιν οἰκοῦντες, χάριν εἰλήφατε παρὰ Θεοῦ τῶν θαυμάτων, διὸ ὑμᾶς γεραίρομεν.

Ἕτερον τῶν μαρτύρων. Τὴν σοφίαν καὶ λόγον,

Τὰ τῆς πίστεως ἄνθη, τοὺς νοητούς μαργαρίτας Κυρίου καὶ ἀθλητὰς, Σέργιον τιμήσωμεν καὶ τὸν Βάκχον τοὺς μάρτυρας· οἱ τῶν εἰδώλων πᾶσαν ἰσχὺν ἀφανίσαντες, ἐπαξίως, οὐρανόθεν τὸ στέφος τῆς νίκης δεξάμενοι, σὺν ἀγγέλοις χορεύουσι· διὸ πιστοὶ βοήσωμεν, πρεσβεύσατε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην ὑμῶν.



## καὶ νῦν Θεοτοκίον. ὅμοιον.

Χαῖρε θρόνε πυρίμορφε Κυρίου, χαῖρε κόρη καθέδρα βασιλικὴ, κλίνη πορφυρόστρωτε, χρυσοπόρφυρε θάλαμε, χλαμὺς ἀλουργόχροε, τιμαλφέστατον τέμενος, ἀστραπόμορφον ἅρμα, λυχνία πολύφωτε, χαῖρε Θεοτόκε, δωδεκάτειχε πόλις, παστὰς ἀγλαόμορφε, καὶ πύλη χρυσήλατε, ἀγλαόχρυσε τράπεζα, θεοκόσμητον σκήνωμα, χαῖρε ἔνδοξε νύμφη ἡλιοστάλακτε, χαῖρε μόνη ψυχῆς μου εὐπρέπεια.

## Ὠδὴ δ'. εἱρμός.

Εἰσακήκοα Κύριε, τὴν ἀκοὴν τῆς σῆς οἰκονομίας καὶ ἐδόξασά σε μόνε φιλάνθρωπε.

Τῶν τραυμάτων μου, Δέσποινα, τῶν τῆς ψυχῆς, σαρκός τε νοσημάτων, ἡ Θεὸν τεκοῦσα, λύσιν παράσχου μοι.

Λυπιζόμενον πάθεσι καὶ λογισμοῖς καὶ βίου τρικυμίαις, ἐλπίδι Παρθένε, τῇ σῇ μὲ βεβαίωσον.

Ἐκ κινδύνων μὲ λύτρωσε, μῆτερ Θεοῦ, καὶ ζάλης καὶ πταισμάτων, ταῖς σαῖς ἱκεσίαις, μόνη Πανύμνητε.

Χειμαζόμενον κλείδοσι βιωτικοῖς, ἐξάρπασον Παρθένε πρὸς τὸν λιμένα καθοδηγοῦσά με.

Φωτισμὸς ἡμῖν ὅσιοι Πατέρες γεγόνατε καὶ σθένος, περιβεβλημένοι φῶς τὸ ἀπρόσιτον.

Φῶς ἀνέσπερον ὅσιοι, τὸ τοῦ Χριστοῦ εἰδεῖν ἀξιωθέντες, τοῖς ἐν σκότει λάμπειν κατηξιώσατε.

Λαμπρυνθέντες τῇ χάριτι τῇ τοῦ Χριστοῦ πιστοὺς φωταγωγεῖτε, καὶ πᾶσαν τὴν Κρήτην καταλαμπρύνετε.

www.tezaurliturgic.ro



Δυσωποῦμέν σε ἄχραντε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα, τοῦ ἀεὶ πρεσβεύειν, ὑπὲρ τῶν δούλων σου.

ἄλλος. Τὴν ἀνεξιχνίαστον θείαν βουλήν.

Σὲ ἀντιλήπτορα καὶ βοηθὸν, ἔχουσα ἡ Κρήτη, θερμότατον πρὸς τὸν Δεσπότην τῶν ἁπάντων πρεσβευτὴν καὶ ρύστην λαμβάνει πάντοτε, ὅθεν σοῦ γεραίρει τὰ λείψανα.

Ἰατρεῖον ἄσυλον, παντοδαπῶν νόσων, τὰ λείψανα ἅπαντες οἱ ἐν τῇ Κρήτῃ κεκτημένοι, εὐλαβῶς τὴν σὴν πανηγυρίζουσιν μνήμην, Ἰωάννη Θεόσοφε.

Δόξα.

Ἔνδον ἐν καρδίᾳ σου, πάτερ σοφὲ, ἔχων, Ἰωάννη, τῆς κρίσεως ἀεὶ τὸν φόβον καθ' ἑκάστην, τὸν Κριτὴν τῷ πένθει ἠλεούμενος, ἄληκτον χαρὰν διὸ εἴληφας.

Καὶ νῦν. Παρθένε.

Ῥῦσέ με Πανύμνητε, ἡ τὸν Θεὸν ἄχραντε παρθένε κυήσασα, πάσης ἀνάγκης καὶ παντοίων πειρασμῶν, νόσου δηούσης καὶ μάστιγος, φθόνου καὶ θυμοῦ τὸν ἱκέτην σου.

Καταβασία τὸ ἀνεξιχνίαστον. Ὠδὴ ε΄. ὁ εἱρμός.

Ὁ τοῦ φωτὸς χορηγὸς, καὶ τῶν ἁπάντων ποιητὴς Κύριος, ἐν τῷ φωτὶ τῶν σῶν προσταγμάτων, οδήγησον ἡμᾶς, ἐκτός σου γὰρ ἄλλον οὐ γινώσκομεν.

Ὅπλον ἀήττητον κατα ποικίλων πειρασμῶν ἔχοντες, τῶν δυσμενῶν πάσης ἐπηρείας λυτρούμεθα σαφῶς, οἱ σὲ Θεοτόκον ἀεὶ ἐπιστάμενοι.

Νόμου τὸ πλήρωμα, ἡ ἀνωτέρα Χερουβίμ, τέτοκας τὸν



τοῦ Θεοῦ σαρκωθέντα υἱὸν μονογενῆ, ὃν ὑπὲρ τῶν δούλων ἀεὶ ἐκδυσώπησον.

Τὸν τοῦ παντὸς ποιητὴν, ἐν ταῖς ἀγκάλαις σου ἁγνὴ φέρουσα, τοῦτον ἡμῖν ταῖς σαῖς ἱκεσίαις εὐίλατον δίδου, τοῖς νῦν ἐκ καρδίας πρός Σὲ καταφεύγουσιν.

Ἀπὸ στενώσεως ἐκ κατοδύνου μου ψυχῆς, δέησιν τῶν εἰκτειρμῶν μόνῃ τῇ τεκούσῃ τὸν ἀήττητον λόγον, προσφέρω ὁ τάλας, εἰκτειρήσασα σῶσον με.

Ἀπὸ παντὸς πειρασμοῦ, καὶ ἀπό πάσης τῶν ἐχθρῶν στάσεως, καὶ ἐκ πάσης νόσου καὶ θλίψεως, καὶ πάσης συμφορᾶς, ἡμᾶς ἀεὶ τηρεῖτε Πατέρες πανόλβιοι.

Ἄστρα πολύφωτα, μαρμαρυγαῖς τῶν ἀρετῶν πέμποντα, καὶ τῶν Κρητῶν ἐν πνεύματι θείῳ, φωτίζοντα ψυχαῖς οἱ πεφωτισμένοι πατέρες ἐδείχθησαν.

Δεῦτε Κιδονιέων πληθὺς, δεῦτε πιστῶς ἐν τῷ ναῷ δράμωμεν, ἔνθα ἡ σωρὸς τῶν ἁγίων πατέρων ὑπάρχουσα, καὶ πιστῶς ὑμνοῦντες αὐτοὺς προσκυνήσωμεν.

Ἀπὸ παντὸς πειρασμοῦ, καί τοῦ συνέχοντος ἁγνὴ χλείδωνος, ὡς ἀγαθὴ ῥῦσαι με, παντοίαις ἐχθρῶν ἐπιβουλαῖς Δέσποινα Παρθένε τὸν ἄθλιον δοῦλον σου.

Τοῦ ὁσίου. Ἐξέστη τὰ σύμπαντα.

Οἱ πόθῳ, μακάριε, τὸ σὸν καλοῦντες ὄνομα, οἱ ἐν τοῖς κινδύνοις, Ἰωάννη, ἅπαντες εὐθέως τὴν παρὰ σοῦ ἀρρωγὴν, πλουσίως λαμβάνουσιν, διὸ νῦν τοῖς προσκαλοῦσί σε ὀξυτάχως βοήθησον.

Μυρίζουσι πάντοτε, τά λείψανά σου ἅγιε, κρίνα τοῦ ἀγροῦ, ὥσπερ τρισμάκαρ, βρύοντα μύρα ἐν τῇ σωρῷ ἐν τῇ

www.tezaurliturgic.ro



γῆ ἀκενώτως. Πάντες οὖν ἐξῆς, δεῦτε ἀρυσώμεθα, ἵνα λάβωμεν ἴασιν.

## Δόξα.

Ὁ βίος σου ἔνθεος, τὰ ἔργα σου πανθαύμαστα· ἐξέστη τὰ σύμπαντα ὁρῶντα, ἔνσαρκον ὄντα σε, ἐν τῇ γῇ ὡς βροτὸν ἄσαρκον, νικῶντα τοὺς ἐχθροὺς πάντας, τοὺς ἀσάρκους τε, ὄντως θαῦμα παράδοξον.

Καὶ νῦν.

Νῦν κραυγάζοντα δέξαι με, βοῶντα μὴ ἀπώσει με παρθένε Μαρία, μὴ παρίδῃς τοῖς λυπηροῖς τε περιαντλούμενον καὶ κατατριχόμενον πικραῖς ἀρρωστίαις σώματος, τὸν ἐν σοὶ καταφεύγοντα.

Καταβασία ἐξέστη τὰ σύμπαντα.

## Ὠδὴ στʹ. ὁ εἱρμός.

Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος, τὴν ἀνεξιχνίαστον τῆς εὐσπλαγχνίας σου, ἐπικαλοῦμαι ἄβυσσον, ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

Σωτηρίας λιμένα γινώσκων σε, πλέων παρὰ φροντίδος βίου, τὴν θάλασσαν· ἐπικαλοῦμαι Δέσποινα, Κυβερνήτην ψυχῆς μου γενέσθαι Σε.

Ἐξεδύθην στολὴν κακουχούμενος, μῆτερ ἀειπάρθενε, τῆς σωφροσύνης μου, ἀλλ' ἡ Θεὸν κυήσασα, τῆς χαρᾶς τὸν χιτῶνα ἀντίδος μοι.

Ἱερᾶς πολιτείας ἐκπέπτωκα, ῥαθυμῶν ὁ δείλεος, ἀλλ' ἐπανάγαγε, εὐλογημένη Πάναγνε, προσταγαῖς τοῦ υἱοῦ σου ῥυθμίζουσα.



Συμπαθείας τῆς σῆς με ἀξίωσον, ἡ τὸν συμπαθέστατον λόγον κυήσασα, τὸν τῷ ἰδίῳ αἵματι, ἐκ φθορᾶς τοὺς ἀνθρώπους ῥυσάμενον.

Τῶν Ὁσίων ὁ αὐτός.

Ἀρραγεῖς Κυδωνίας θεμέλιοι, καὶ ὑπὸ ἐχθρῶν κλονουμένην στηρίξαντες αὐτήν, ἀεὶ φυλάττοιτε ἀπὸ πάσης ἀνάγκης πανόλβιοι.

Καὶ ψυχῶν καὶ σωμάτων ἀκέστορες, θεῖοι χρηματίζοντες, Θεομακάριστοι, τὰς τῆς ψυχῆς μου δέομαι, καὶ σαρκὸς ἀσθενείας ἰάσασθαι.

Ἐν πελάγει δεινῷ, κυματούμενος, ὅσιοι ὑμᾶς κυβερνήτας προβάλλομαι καὶ δυσωπῶ ἰθύναι με πρὸς σωτήριον ὅρμον μακάριοι.

Ἐπὶ σοὶ τὰς ἐλπίδας ἀνέθηκα, μῆτερ ἀειπάρθενε τῆς σωτηρίας μου, καὶ Σὲ προστάτην τίθημι, τῆς ζωῆς ἀσφαλῆ τε καὶ ἄσειστον.

Τὴν θείαν ταύτην.

Ἀκούων πάτερ, θεόσοφε, τὸ λέγον «ὅστις θέλει ὀπίσω μου ἐλθεῖν», εὐθὺς προσέδραμες, κόσμου ἀφεὶς τὸ ἀμφίβληστρον, ὀπαδοὺς μιμούμενος τοῦ Κυρίου σου.

Χριστοῦ τῷ ἔρωτι ἅγιε τρωθείς, οὐκ ἀρεστόν σοι ἐν σώματι ζῆν, ἀλλ' ἐν πνεύματι, ὅθεν ὡς ἄλλος ἀπόστολος, ἐμοὶ Χριστὸς ἀνεκραύγαζες.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



Δόξα

Οὐκ ἔσχες πάτερ φιλόϋλον ἐν σοὶ πῦρ, μᾶλλον ὕδωρ ἀλλόμενον, λιταῖς οὖν Κύριε ταῖς ὑπὲρ ἡμῶν τοῦ ὁσίου σου δὸς, καὶ εἰς τὸν αἰῶνα οὐ μὴ διψήσωμεν.

## Καὶ νῦν.

Σὲ μόνην φέρω Πανάχραντε, ἐλπίδα καὶ ἀσάλευτον στήριγμα, Σὲ ἀπροσμάχητον τεῖχος, καὶ σκέπην καὶ φύλακα, καὶ σὲ ἐπικαλοῦμαι Παρθένε σῶσον με.

Ἑορτάζει σήμερον, Κυδωνιαίων ἡ πόλις, ἑορτὴν ὑπέρλαμπρον, τὴν ἱερὰν αὐτῶν μνήμην, ἅπασαν προσκαλουμένη πόλιν καὶ χώραν, χαίρει γὰρ ὡς κεκτημένη, θυσαυρὸν μέγαν, σωρὸν μέγαν τῶν λειψάνων ὑμῶν, Πατέρες θεῖοι τῆς Κρήτης τὸ καύχημα.

Καταβασία. Τὴν Θείαν ταύτην.

Κοντάκιον τῶν Ἁγίων πατέρων. Ἦχος Γ'.

Ἡ Παρθένος σήμερον.

Ἑορτάζει σήμερον, Κυδωνιαίων ἡ πόλις, ἑορτὴν ὑπέρλαμπρον τὴν ἱερὰν αὐτῶν μνήμην, ἅπασαν προσκαλουμένη πόλιν, καὶ χώραν χαίρει γὰρ ὡς κεκτημένη θησαυρὸν μέγαν, σωρὸν μέγαν τῶν λειψάνων ὑμῶν πατέρες θεῖοι τῆς Κρήτης τὸ καύχημα.

Ὁ οἶκος

Οἱ σωροὶ τῶν ὑμῶν θείων λειψάνων βρύουν πᾶσιν ἰάματα, ἐξ ὧν πάντες πιστοὶ ἀρυόμενοι, σώζονται ἐκ νόσων ποικίλων, ψυχικῶν καὶ σωματικῶν, ὅθεν ὁ τάλας βουλόμενος, κἀγὼ ρυσθῆναί με ἐκ νόσων ποικίλων, ψυχικῶν καὶ σωματικῶν. Διὰ τοῦτο τὴν ἐμὴν βοήθειαν νῦν ἀνευφημῶ καὶ διηγοῦμαι ὅπως ἂν ἐπιφάνητε, καὶ τοῖς ἐν ἀνάγκαις ἐκλυτροῦσθαι, ἐκ πειρασμῶν, καὶ πάντας τοὺς προσιόντας θερμῶς, ρῶσιν παρέχετε· διὸ δότε ἡμῖν ἰσχὺν τοῦ ἀνυμνεῖν ὑμᾶς ἀεὶ ὥσπερ τῆς Κρήτης τὸ καύχημα.



Τὸν νοῦν πρὸς τὸν ἐχθρὸν ἀνδρεῖοι παρετάξασθε, καὶ πᾶσαν αὐτοῦ, ἀπάτην καταλύσαντες, καὶ τὴν νίκην ἄνωθεν εἰληφότες, μάρτυρες πανεύφημοι, ὁμοφρόνως ἐκράζετε, καλὸν καὶ τερπνὸν τῷ συνεῖναι Χριστῷ.

Ἐν οὐρανοῖς Χριστὲ κατοικοῦντες Σέργιος καὶ Βάκχος καὶ τοῦ θείου φωτὸς τοῦ παρὰ σοῦ ἐμφορούμενοι, ἐμὲ τὸν ἐν τῷ σκότει τῆς ἀγνωσίας πορευόμενον, προφθάσειεν διὰ τάχους τῶν παθῶν ἀφαρπάσαι ἐν μοναῖς, ἀθάνατε, στολὴν μοι τῆς ἀφθαρσίας καταπέμποντες, ὅπως λευχημονῶν τὴν φωτοφόρον αὐτῶν ἑορτὴν, ἀνυμνῶ καὶ κραυγάζω σοι Κύριε, καλὸν καὶ τερπνὸν τὸ συνεῖναι Χριστῷ.

## Ἐν μηνὶ Ὀκτωβρίῳ Ζ'. τῶν ἁγίων μεγάλων μαρτύρων Σεργίου καὶ Βάκχου.

Χαλκᾶ τὰ νεῦρα, Βάκχε, πρὸς νεύρων βίας,
Καὶ πρὸς ξίφους Σέργιε πυρσοὶ καρδίας.
Σέργιον ἑβδόματι ξίφος ἔκτανε, νεῦρα δὲ Βάκχον.

## Τῇ αὐτῇ ἡμέρᾳ μνήμην ἐπιτελοῦμεν τῶν ὁσίων θεοφόρων 99 Πατέρων τῶν ἐν Κρήτῃ λαμψάντων.

Τέλος εἴληφαν οἱ πατέρες ἐν Κρήτῃ, ὡς ἀστέρες ἕ-

www.tezaurliturgic.ro



λαμψαν ἐν τῇ ἐρήμῳ. Δεῦρο πρὸς ἡμᾶς εἰς τὰ τερπνὰ τοῦ πόλου, ἔλαμψεν ὡς ἥλιος ἐν τῇ ἐρήμῳ, ἀκτῖσι ἰάσεων νόσων παντοίων, ἕκτῃ Ὀκτωβρίου, μύστης χαριτώνυμος Ἰωάννης. Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις.

## Ωδὴ ζ΄. ὁ εἱρμός.

Εἰκόνος χρυσῆς ἐν πεδίῳ Δεηρὰ λατρευομένης, οἱ τρεῖς σου παῖδες κατεπάτησαν, ἀθέου προστάγματος, μέσον δὲ πυρὸς ἐμβληθέντες δροσιζόμενοι ἔψαλλον, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν. Δίς

Σταυρῷ προσπαγὴς, ὁ ἐκ σοῦ σωματωθεὶς Θεογεννήτρια, Ἀδὰμ διέρρηξε τὸ χειρόγραφον, ᾧ νῦν Παρθένε δυσώπησον, πάσης ἐπηρείας ρυσθῆναι, τοὺς ἐν πίστει κραυγάζοντας, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ἐλπὶς ἀγαθὴ προσδοκία τε πιστῶν ὑπάρχεις Δέσποινα καὶ νῦν δεόμεθά σου, δωρίσασθαι τῆς συμπαθείας τὸ ἔλεος, πᾶσι τοῖς εἰς σὲ πεποιθόσι, καὶ τῷ υἱῷ σου κραυγάζουσιν, εὐλογητός εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Σκοτία δεινὴ, τῇ τοῦ βίου συσχεθεὶς τὸν συλλυπούμενον καὶ συναλγοῦντα, οὐ κατέλαβον τῇ σῇ Παρθένε λαμπρότητι, λῦσον τὴν ἀχλὺν τῶν πταισμάτων καὶ καταύγασον ψάλλειν σοι, εὐλγητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ζωῆς ἐκπεσὼν ἀκράτου μὲν τὸ πρὶν, ὁ Ἀδὰμ σέσωσται, διὰ τοῦ τόκου σου, νῦν δὲ Πάναγνε τὸν ἀρωστείᾳ κρατούμενον, σῶσον εὐρωστείᾳ σου κόρη, καὶ ἀξίωσον ψάλλειν σοι, εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.

Ἐπέστη φεδρὰ, ἡ ἐτήσιος ὑμῶν μνήμη πανόλβιοι, λελαμπρυσμένη τηλαυγέστατα, ἡ εὐπρέπεια τῆς χάριτος



ἣν ἐπιτελοῦντες ἐν πίστει τῷ Κυρίῳ κραυγάζομεν, Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν πατέρων ἡμῶν.

Πυρσοὶ νοητοὶ καταλάμποντες, ὤφθητε ὅσιοι, χειμαζομένους διασώζετε καὶ ὁδηγεῖτε τοὺς πλέοντας, καὶ θαυμάτων ταῖς βολαῖς, τὴν Κρήτην λαμπρύνετε, βοῶντες· Εὐλογητός εἶ ὁ Θεὸς, ὁ τῶν πατέρων ἡμῶν.

Ἀδύτου φωτὸς, ταῖς ἀΰλοις ἀστραπαῖς καταλαμπόμενοι τοὺς ἐν σκότει τῶν θλίψεων κεκακωμένους ἁρπάσατε, καὶ πρὸς φωτισμὸν εὐφροσύνης, ὁδηγήσατε ψάλλοντες, Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Δυσώπει Χριστὸν, τὸν υἱόν σου καὶ Θεὸν Θεογεννήτρια, τοὺς κεχραμένους δεινοῖς πταίσμασιν, καὶ ταῖς ἀπάταις τοῦ ὄφεως, αἵματι αὐτοῦ τῷ τιμίῳ, ἀλλὰ ρύσασθε ψάλλοντες, Εὐλογητὸς, ὁ Θεὸς, ὁ τῶν πατέρων ἡμων.

## Ἄλλος. Οὐκ ἐλάτρευσαν τῇ κτίσει.

Πέρας δόξαν τε τίμιον, καὶ πλοῦτον ῥέοντα πάτερ κατέλειπες, πρὸς τὸ Χριστοῦ ἀκλινῶς καὶ μόνον, εἰκόνιζες κάλλος, καὶ ἔλεγες, ὑπερύμνητε, ὁ τῶν πατέρων κύριος καὶ Θεὸς εὐλογητὸς εἶ.

Ἀρρωστίαι χειμάζουσί με τὸν δείλεον, δειναὶ μακάριε, καὶ πάθη ἀπειράριθμα, διὸ ταῖς ἰκυσίαις σου, ἐμοῦ τὸ δυσώδες τῶν παθῶν ἀποκάθαρον, χάριν μοι δωρούμενος.

## Θεοτοκίον

Φεῖσαί μου, Κύριε, φεῖσαι, ὅταν μέλλῃς με κρῖναι καὶ μὴ καταδικάσῃς με εἰς πῦρ, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με,

www.tezaurliturgic.ro



δυσωπεῖ σε Παρθένος ἡ Σὲ κυοφορήσασα, Χριστὲ τῶν ὁσίων ὁ δῆμος καὶ τῶν μαρτύρων τὰ τάγματα.

## Ὠδὴ η΄. ὁ εἱρμός.

Ἱερωτάταις χορείαις, τῶν ἁγίων ἁπάντων, συνόντες, καὶ ταῖς θείαις καλωναῖς, ὡραϊζόμενοι Ἅγιοι, τὸν ὡραῖον ἐν κάλλει, αἰτήσασθε Χριστὸν διὰ παντὸς, ὡραίσαι καρδίας ἡμῶν ἐν θείᾳ χάριτι.

Ὡς εὐωδέστατα κρίνα, νοητοῦ Παραδείσου γενόμενοι μακάριοι σαφῶς, πᾶσαν ψυχὴν κατευφραίνετε, ἱεραῖς εὐωδείαις. Διό μου τὸ δυσῶδες τῶν παθῶν ἀπελάσατε, ῥῶσιν καὶ χάριν μοι δωρούμενοι.

Ἡ καταιγὶς τῶν δαιμόνων, τῶν ψυχῶν τὰς ὁλκάδας, βυθίσαι οὐ κατίσχυσεν ἡμῶν· τῇ κυβερνήσει γὰρ Ὅσιοι τοῦ Δεσπότου τῶν ὅλων, πρὸς ὅρμον κατηντήσατε ζωῆς, καὶ ἡμῖν σωτηρίας λιμένες ἀνεδείχθητε.

Ὡς ὑπηρέται τοῦ Χριστοῦ, ὡς διάκονοι πιστοὶ καὶ οἰκονόμοι, τῶν αὐτοῦ μυστηρίων ὡς ἀπλανεῖς ὁδηγοί, φανέντες πάθη θεραπεύετε, ψυχῶν καὶ σωμάτων, ἡμῶν εἰς τοὺς αἰῶνας.

Ὡς ἀστραπαὶ καθαρότητι βίου καὶ πολιτείᾳ, τῇ τῶν ἀσωμάτων ὁμοιούμενοι, λάμψαντες κόσμῳ, τὸν τοῦ σκότους προστάτην, ἀπελαύνειν κατηξιώθητε, τῷ τῆς εὐσεβείας φωτὶ λαμπρυνόμενοι.

Ἐν οὐρανοῖς τὴν ἀΐδιον δόξαν νῦν καθορῶντες, καὶ τῆς ἀκηράτου καὶ θείας αἴγλης ταῖς φανοτάταις ἐντρυφόντες, ἀκτῖσι, τῶν παθῶν μου σκότος μειώσατε, Ὅσιοι θεράποντες Χριστοῦ, πανσεβάσμιοι.



Ὑπὲρ ἡμῶν τὸν Λυτρωτὴν, ἱκετεύσατε Ὅσιοι θεῖοι, χαλεπῶν ἐκ κινδύνων καὶ νοσημάτων πικρῶν, καὶ βλάβης ἡμᾶς ἐκλυτρώσασθαι, τοὺς ὑπερυψοῦντας αὐτὸν εἰς τοὺς αἰῶνας.

Ἀρετῶν τὴν ἀρίστην ἀκλινῶς διοδεύσαντες τρίβον ἀοίδημοι, πρὸς πόλιν εἰσελαύνετε, Ἐδὲμ τῆς ἀκηράτου, μελῳδοῦντες εὐφραινόμενοι. Ὁ τῶν πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ἵνα τὸν χριστὸν μόνον κερδίσῃς, τὸν κτίστην καὶ βασιλέα πάσης κτήσεως, πάντα ὥσπερ σκύβαλον ἡγήσω μακάριε, ταῖς διδαχαῖς ἑπόμενος Παύλου τοῦ κήρυκος, μεθ' οὗ γὰρ τὸν Δεσπότην γεραίρεις ἐν τῇ ἀθανάτῳ μονῇ ἀκαταπαύστως.

Ἤρθης, Ἰωάννη, εἰς τὸ ὕψος παμμάκαρ τῶν ἀρετῶν ἐκτιναξάμενος ὕλην τὴν ὀλέθριον, διὸ καὶ ὁ ὕψιστος Θεὸς, τὴν ἄνω οἴκησιν σοὶ ἐδωρήσατο, ὦ ὕμνοις, ἀεννάως δοξάζεις μετὰ τῶν ἀγγέλων καὶ πάντων τῶν ἁγίων.

## Δόξα.

Λάμψων θεαρχία ταῖς καρδίαις, τρισήλιε, ταῖς σαῖς αἴγλαις τῶν ὑμνούντων σε πάντας, καὶ ἀξίωσον τὸν ἀπεριόριστον πανεβλαβῶς καὶ ἄναρχον σέβειν, ἑκάστοτε οὐσίαν σου, ὃν νῦν προσκυνοῦμεν, καὶ δοξολογοῦμεν, οἱ ταπεινοί σου δοῦλοι.

### Καὶ νῦν.

Οἴμοι, ὦ ψυχή μου παναθλία, τῷ ζόφῳ τῆς ἁμαρτίας ὅλη πάντοτε κρατουμένη, κράζουσα, τῷ Θεῷ ἐπίστρεψον

www.tezaurliturgic.ro



τῆς σῆς μητρὸς δεήσεσι σῶσόν με κύριε, τὸν εὔσπλαγχνον σὲ, ἵνα δοξάζω, ἐν τῇ μακαρίᾳ μονῇ τοῦ θανάτου.

Καταβασία. Παῖδας εὐαγεῖς.

Στοιχολογεῖται. Τὴν τιμιωτέραν

## Ὠδὴ θ'. ὁ εἱρμός.

Ἀνάρχου γενήτορος, υἱὸς καὶ κύριος, σαρκωθεὶς ἐκ Παρθένου ἡμῖν ἐπέφανεν, τὰ ἐσκοτισμένα φωτίσας, συναγαγὼν τὰ ἐσκορπισμένα, διὸ τὴν πανύμνητον Θεοτόκον, μεγαλύνωμεν,

Γευσάμενος μὴ προσηκούσης, θάνατον ὁ Ἀδὰμ ἐκ τοῦ ξύλου πικρῶς ἐτρύγησεν, ξύλῳ δὲ πηγεὶς ὁ υἱός σου, τὸν γλυκασμὸν τῆς ἀθαναοίας ἐπήγασεν ἄχραντε, διὰ τοῦτο σὲ γεραίρομεν.

Βασίλισσα πέφυκας, τὸν βασιλέα κύριον, ὑπὲρ λόγον τεκοῦσα τὸν διαλύσαντα ᾅδου τὰ βασίλεια, κόρη, ὃν ἐκτενῶς δυσώπει, τῆς ἄνω βασιλείας, ἅπαντας ἀξιῶσαι τοὺς ὑμνοῦντας σε.

Ἀγάθυνον Δέσποινα τὴν ταπεινὴν καρδίαν μου, ἡδονῶν κακωθεῖσαν ταῖς ἐπικλήσεσιν, ὡς τῶν ἀγαθῶν τετοκυῖα καὶ ἀγαθὴ ὑπάρχουσα ὅλη, καὶ πρὸς μετανοίας με ἀγαθῆς πύλης εἰσάγαγε.

Σοφίαν καὶ δύναμιν, καὶ λόγον ἐνυπόστατον, τοῦ Πατρὸς Θεομήτωρ ἁγνὴ συνέλαβες, ἐκ τῶν σῶν ἀχράντων αἱμάτων, τὸν ἑαυτοῖς ναὸν προσλαβοῦσαν, καὶ τοῦτο καθ' ἕνωσιν ἑνωθεῖσαν ἀδιάρρηκτον.

Ἡ Κρήτη εὐφραίνεται, κηρύττουσα τὰ θαύματα τῶν ἁγίων πατέρων τὰ κατορθώματα. Καὶ δοξολογεῖ εὐχαρίστως τὸν λυτρωτὴν, τὸν δι' εὐσπλαγχνίαν Αὐτοῦ δωρησάμενον τοιούτους φύλακας.



Τὰ ὄρη μυρίζουσι, τῆς Κρήτης καὶ αἱ φάραγγες, αἱ ὀπαὶ καὶ τὰ σπήλαια, ὡς παλάτια θείους μαργαρίτας κατέχοντα, τῶν σοφῶν πατέρων τὰς κάρας, ἰάσεις παρέχουσι τοῖς πιστοῖς, πιστῶς προστρέχουσι.

Πατέρες, Πανάγιοι Πατέρες, πανσεβάσμιοι, τοὺς πιστῶς ἐκτελοῦντας τὴν θείαν μνήμην ὑμῶν καὶ δοξολογοῦντας καὶ ψάλλοντας εὐλαβῶς, καὶ ἅπαν τὸ πλῆθος τῆς νῦν πανηγύρεως, ἐκ παντοίας βλάβης ῥύσασθαι.

Ὡς Ὄρθρος εὑρέθης πρωϊνὸς, ἐν τῇ τοῦ βίου νυκτὶ, παρθενείας ἀκτῖσι περιαυγάζουσα, τὴν ἀνατολὴν τοῦ ἡλίου τοῦ νοητοῦ, τῆς δικαιοσύνης ἡμῖν φανερώσασα, Θεομήτωρ πανσεβάσμιε.

## Ἄλλος· ἅπας γηγενὴς σκιρτάτω.

Ἡ Κρήτη εὐφραίνεται, κηρύττουσα τὰ θαύματα, τῶν ἁγίων Πατέρων τὰ κατορθώματα, καὶ δοξολογεῖ εὐχαρίστως, τὸν λυτρωτὴν, τὸν δι' εὐσπλαγχνίαν αὐτοῦ δωρησάμενον ἐν αὐτῇ τοιούτους φύλακας.

Ῥῦσιν τῆς ψυχῆς ὁμοῦ καὶ τοῦ σώματος, τοῦ ἀγαπήσαντος σὲ τὸν δι' ἐλέους πολλοῦ τὸν κόσμον φθορᾶς ῥυσάμενον, ταῖς ἱεραῖς δεήσεσι τοῦ θείου θεράποντος Ἰωάννου, δώρησαι τοῖς κραυγάζουσιν ἐκ καρδίας, ὑμῖν τὸ ἱλάσθητι.

Δεῦτε οἱ πιστοὶ, τῇ θείᾳ τοῦ μάκαρος σορῷ, προσέλθωμεν Ἰωάννου φύει γὰρ ἰάσεις πᾶσι τοῖς μετὰ πίστεως

www.tezaurliturgic.ro



τῶν ἱερῶν λειψάνων προσψαύουσι πάντοτε καὶ βοῶσι σῶσον ἡμᾶς ἅγιε τοὺς τὴν μνήμην τὴν σὴν ἑορτάζοντας.

Δόξα.

Ἡ ζωαρχικὴ Τριὰς ὁ Θεὸς ἡμῶν, πατὴρ ὁ ἄναρχος καὶ ὁ γεννηθεὶς υἱὸς ἄρρευστος ἐξ αὐτοῦ ὁ συνάναρχος, καὶ τὸ ἀπειροδύναμον, καὶ συναΐδιον θεῖον Πνεῦμα, τὸ ἐκπορευόμενον ἐκ πατρὸς ταῖς σαῖς·

## Καὶ νῦν.

Σῶσόν με ἁγνή, ἡ Θεὸν κυήσασα τὸν πανοικτήρμονα κείμενον εἰς χάος ἀνάστησον, νῦν τὸν ἀναξιώτατον οἰκτιρμοῦ τῆς κολάσεως καὶ τοῦ ἀσβέστου πυρὸς μὲ ἐξήρπασαν, ἵνα πίστει καὶ πόθῳ δοξάζω σε.

Καταβασία ἅπας γηγενής. Ἐξαποστιλάριον

## Γυναῖκες ἀκουτίσθητε.

Πατέρες παμμακάριστοι, τῆς Κρήτης τὸ κραταίωμα, Κυδωναίων δόξα καὶ κλέος, καὶ ἰατροὶ τῶν νοσούντων, τὰ πάθη θεραπεύσατε, ἐμῆς ψυχῆς καὶ σώματος, βοῶντος, μετὰ πίστεως, πρεσβεύοντες τῷ Κυρίῳ, σὺν τῷ σεπτῷ Ἰωάννῃ.

Τὸ θεῖον ἐγκαλλώπισμα, τῶν ἀσκητῶν τιμήσωμεν, Κρητῶν τὸν ἄσυλον πλοῦτον, τὸν πάνσοφον Ἰωάννην Κυδώνων τὸ κραταίωμα, διπλοῦν γὰρ στέφος εἴληφεν, διττῶς πολιτευσάμενος, ἀθλητικῶς καὶ ὅσιος, ὅθεν ἀξίως τιμᾶται.

Θεοτοκίον

Παρθένε, παναμώμητε, κυρία μου καὶ δέσποινα, τὸν σὸν υἱὸν ἐξισώπει, σὺν τοῖς ἁγίοις πατρᾶσι πυρατη-



ρίων ῥύσασθαι παντοίων τοὺς ὑμνοῦντας Σε, καὶ αἰώνιον τεύξασθαι τῶν ἀγαθῶν Παναγία, δύνασαι γὰρ ὅσα θέλεις καὶ βούλεσαι.

## Εἰς τοὺς αἴνους ἱστῶμεν στιχ. δ'. ἦχος α'.
## Τῶν οὐρανίων ταγμάτων.

Τῶν οὐρανίων ταγμάτων, νῦν μιμησώμεθα, τάξεις τὰς οὐρανίους, καὶ στησώμεθα μίαν, χορείαν μετὰ πόθου. Δεῦτε πιστοὶ πιστῶς εὐφημήσωμεν, χορὸν τῶν θείων πατέρων τὸν ἐκλεκτόν, τὸν τὴν Κρήτην ἐκλαμπρύναντα.

Τὸν ἀσκητὴν τοῦ Κυρίου, ὕμνοις τιμήσωμεν, τὸν θαυμαστὸν προστάτην, Ἰωάννην τὸν θεῖον Κρήτης, καὶ γὰρ οὗτος Χριστὸν τὸν Θεόν, τὸν σωτῆρα καὶ Κύριον ὑπὲρ αὐτῆς ἱκετεύει ἐκ πειρασμοῦ, λυτρωθῆναι καὶ κολάσεως.

Ἡ Ἑκατόμπολις Κρήτη χαίρεται σήμερον, τοὺς ἑκατὸν πλουτοῦσα, στερεοὺς θείους πύργους, Πατέρας τοὺς ἁγίους τοὺς ἐν αὐτῇ, θανάτῳ ἐναθλήσαντας, καὶ ἐκλαμπρύναντας ταύτην ταῖς ἀρεταῖς καὶ τοῖς θείοις κατορθώμασιν.

Ὑπὲρ ἡμῶν τῶν ἐν πίστει, Σοῦ τὴν πανένδοξον, καὶ φωτοφόρον μνήμην, ἐκτελούντων μὴ παύσης, μάκαρ Ἰωάννη, τὸν λυτρωτήν, ἱκετεύων καὶ Κύριον, τοῦ λυτρωθῆναι κινδύνων καὶ πειρασμῶν, καὶ πυρὸς τοῦ αἰωνίζοντος.

## Δόξα ἦχος πλ: β'.

Θεία χάρις ἀπηώρητο, ἐπὶ τὴν σωρὸν τῶν λειψάνων ὑμῶν, ἡγιασμένοι ὅσιοι. Διὸ καὶ εἰς ὀσμὴν μύρου, τῶν θαυμάτων ὑμῶν δραμούμεθα, τῶν νοσημάτων τὴν ἴασιν

www.tezaurliturgic.ro



ἀρυόμενοι, ἀλλὰ Πατέρες πανσεβάσμιοι, Χριστὸν τὸν Θεὸν ἱκετεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτόκε σὺ ἡ ἄμπελος ἡ ἀληθινή.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

Εἰς τὴν λειτουργίαν τυπικὰ καὶ ἐκ τοῦ κανόνος τῶν Πατέρων γ'. καὶ τοῦ ἁγίου στ'.

Ὁ ἀπόστολος Προκείμενον ἦχος βαρὺς.

Καυχήσονται Ὅσιοι ἐν δόξῃ

Ἄσατε τῷ Κυρίῳ ἄσμα κενόν.

Πρὸς Γαλάτας ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ἀδελφοὶ ὁ καρπὸς τοῦ πνεύματος ἐστὶν, ἀγάπη, χαρὰ, εἰρήνη, μακροθυμία, κτλ.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν.

Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς, ἐπὶ τόπου πεδινοῦ.

Κοινωνικὸν

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

Τὴν τιμιωτέραν

Τοὺς ἐν Κρήτῃ λάμψαντας, θαυμαστῶς τοὺς ἁγίους Πατέρας εὐφημήσωμεν οἱ πιστοὶ, τούτους γὰρ καὶ προστάτας καὶ πρεσβευτὰς πρὸς τὸν κτίστην ἔχομεν, οἱ τιμῶντες αὐτοὺς ἐκ πίστεως.

Τῶν θείων πατέρων θεῖον βλαστὸν, ἀσκητῶν τὸ κλέος καὶ τῆς Κρήτης τὴν καλονὴν, τὸν θερμὸν προστάτην, τὸν



ἐπικαλούμενον, τὸν μέγαν Ἰωάννην, πάντες ὑμνήσωμεν.

## Βίος καὶ πολιτεία τῶν Ὁσίων καὶ Θεοφόρων 98 Ἁγίων Πατέρων τῶν ἐν τῇ Κρήτῃ λαμψάντων καὶ τοῦ συνασκητοῦ αὐτῶν Ἰωάννου τοῦ Ἐρημίτου. Εὐλόγησον Πάτερ.

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ» Λέγει ὁ φιλοσοφώτατος Σωλομὼν εὐλογημένοι Χριστιανοί. Ἐπειδὴ λοιπὸν ἡ μνήμη καὶ ἡ ἑορτὴ τῶν δικαίων, καὶ ἁγίων ἀνδρῶν πρέπει νὰ γίνεται μὲ πνευματικοὺς ἐπαίνους καὶ μὲ ἐγκώμια, ὅλοι μικροὶ καὶ μεγάλοι, νέοι τε καὶ γέροντες ἀξιότατοι Κρητικοὶ, δεῦτε νὰ ἐπαινέσωμεν καὶ νὰ ἐγκωμιάσωμεν τοὺς ὁσίους τούτους καὶ ἁγίους πατέρας, ὅπου ἔκαμαν τὴν πατρίδα μας μὲ τὰ θαύματα καὶ μὲ τὸν ἁγιασμὸν αὐτῶν ἀξίαν πολλῶν ἐπαίνων, ὁμοῦ μὲ τὸν συνασκητὴν αὐτῶν ἅγιον Ἰωάννην τὸν ἐρημίτην, οἱ ὁποῖοι ἂν καλὰ καὶ νὰ ἦσαν ἀπὸ διαφόρους τόπους, τοὺς ὑπεδέχθηκεν ὅμως ἡ περίφημος Κρήτη, ὥσπερ πολίτιμον θησαυρὸν, εἰς τὴν ὁποίαν καὶ μὲ δόξαν ἐτελειώθησαν, καθὼς θέλετε ἀκούσει· Ἀλλὰ, συμπατριῶταί μου Κρῆτες· πρέπει μὰ τὴν ἀλήθειαν μὲ πόνον καὶ εὐλάβειαν, μὲ ὕμνους καὶ δοξολογίας νὰ ἀνταποδώσωμεν τὸ χρέος μας, ὄχι μὲ χοροὺς καὶ παιγνίδια, ὄχι μὲ ξεφάντωσες δαιμονικαῖς καὶ ἔργα σατανικὰ, εἰς τὰ ὁποῖα δὲν χαίρεται ὁ Θεὸς και οἱ ἅγιοι ἀλλὰ ὁ διάβολος, ὅπου παρακινᾷ τοὺς τρελοὺς ἀνθρώπους καὶ τὰ κάμνουν. Καὶ ἀφορμὴν διὰ νὰ προσκυνήσουν τοὺς ἁγί-

www.tezaurliturgic.ro



ους συνάζουνται καὶ κάμνουν πράγματα, ὅσα δὲν ἀρέσουν τοῦ Θεοῦ καὶ τῶν ἁγίων, μόνον τοῦ διαβόλου. Ἀλλ' ἡμεῖς ἀδελφοὶ καὶ ὀρθόδοξοι Χριστιανοί, μὲ πόθον καὶ καθαρὰν καρδίαν, ἂς εὐχαριστήσωμεν τοὺς Ἁγίους Πατέρας καὶ ἂς τοὺς προσκυνήσωμεν, διότι ἐπροτίμησαν νὰ κατοικήσουν εἰς τὸν τόπον μας. Ἐπειδὴ λέγει καὶ τὴν σκληραγωγίαν ἠγάπησαν πολλά, καὶ εἶχον τόσην ὄρεξιν νὰ εὕρωσι τόπον σκληρὸν καὶ δύσβατον νὰ κατοικήσουν, ὅπου ἄλλον τόπον δὲν εὕρῆκαν ἀρεσκούμενον, ὡσὰν τὴν περίφημον Κρήτην ὁμοῦ μὲ τὸν συνασκητὴν αὐτῶν τὸν ἅγιον Ἰωάννην τὸν Καλυβήτην, οἵτινες ἦσαν εὐθαλῆ καὶ εὐώδη ρόδα, καὶ ἐμύρισαν ὄχι μόνον τὴν Κρήτην, ἀλλὰ καὶ ὅλον τὸν κόσμον, διότι γινώσκετε ἐτούτους τοὺς ἁγίους Πατέρας, ὅποιος τοὺς ἐπικαλεσθῇ εἰς τὴν γῆν ἢ εἰς τὴν θάλασσαν μετὰ πίστεως τοὺς εὑρίσκει ἑτοίμους βοηθούς, καὶ λυτρόνουσιν αὐτὸν ἀπὸ πάσης ἀνάγκης, ψυχικῆς καὶ σωματικῆς καὶ ὁ κόσμος ὅλος τοὺς ἔχει εἰς μεγάλην εὐλάβειαν καὶ ἀκούσατε μετὰ πάσης προθυμίας ἐξ ἀρχῆς τὴν διήγησιν αὐτῶν, διὰ νὰ λάβητε μεγάλην ὠφέλειαν.

Ὅλοι λοιπὸν οἱ ἅγιοι καὶ θεοφόροι Πατέρες δὲν ἦσαν ὅλοι ἀπὸ μίαν πατρίδα, ἀλλὰ ἀπὸ πολλαῖς καὶ διάφοραις, ἀπὸ μὲν Αἴγυπτον ἤγουν ἀπὸ Μησίρι ἦτον 36 ἀπὸ τοὺς ὁποίους ἦτον ἕνας ὁ ἅγιος Ἰωάννης· οἱ ὁποῖοι ἀκούοντας πῶς διὰ νὰ ξενιτευθῇ ὁ μακάριος Ἀβραάμ, τοῦ ἐχάρισεν ὁ Θεὸς την γῆν τῆς ἐπαγγελίας, ἠθελήσασι καὶ αὐτοὶ νὰ ενιτευτοῦν καὶ μισεύοντας ἀπὸ τὴν πατρίδα των ἐπήγασιν εἰς τὴν Κύπρον καὶ εἰς ὀλίγας ἡμέρας εὐγῆκεν ἡ φήμη των εἰς ὅλην τὴν Κύπρον καὶ ὅλοι ἐπεθυμοῦσαν νὰ τοὺς



θεωροῦν, ἐπειδὴ καὶ μόνον μὲ τὴν θεωρίαν των, πολλαῖς καὶ διάφοραις ἀρρωστείαις ἰατρεύουνταν· καὶ οὐδὲ ἕνας ἀπὸ τοὺς ἀσθενεῖς ὅπου ἐπηγαίνασι δὲν ἐμίσευεν χωρὶς νὰ μὴν ὠφεληθῇ ψυχικὰ καὶ σωματικά. Εἰς αὐτὸ λοιπὸν τὸ νησὶ τῆς Κύπρου ἦσαν καὶ ἄλλοι τριάντα ἐννέα ὅσιοι, ὅπου ἐπερνοῦσαν τὴν ζωήν των εἰς διαφόρους τόπους ἐρήμους καὶ σπήλαια· καὶ αὐτοὶ ἀκούοντας τὴν φήμην αὐτῶν τῶν ἁγίων Πατέρων, ὅπου ἦλθασιν εἰς τὸ νησί των, ἐπήγασι καὶ ἀνταμωθήκασι μὲ αὐτούς, καὶ καθ' ἕνας τὴν πρέπουσαν μετάνοιαν καὶ τιμὴν ἀλλήλως των ἔδιδον, κάμνοντες ὅλα ἐκεῖνα ὅπου ἔπρεπεν ὡσὰν καλοὶ ἐν Χριστῷ ἀδελφοί· καὶ παρακαλῶντας ὁ ἕνας τὸν ἄλλον νὰ φάγωσι καὶ τροφὴν ἡ ὁποία ἦτον μόνον ψωμίον ἀλάτσι καὶ νερόν. Ἀφοῦ δὲ ἐφάγασι ὀλίγον, χωρὶς νὰ γεμίσωσι τὴν κοιλίαν των δηλ. νὰ χορτάσωσι, καὶ τοῦτο διότι ἐκατέχασι ὅτι μὲ θεραπευμέναις κοιλιαῖς γαυριᾷ ὁ λογισμός. Ἀλλὰ ποῖος ἠμπορεῖ νὰ διηγηθῇ, ταῖς δοξολογίαις καὶ εὐχαριστίαις τοῦ γλυκυτάτου Ἰησοῦ Χριστοῦ, παρακαλῶντας τον νὰ τοὺς ὁδηγήσῃ, λέγοντας «κύριον τὸν προφήτην ὁ Θεὸς εἰς τὴν βοήθειαν μου πρόσχες·» μὲ τὴν βοήθειαν λοιπὸν τοῦ Κυρίου, ἐμπήκασιν ὅλοι εἰς ἕνα καράβι καὶ ἐπήγασιν εἰς τὴν Ἀτάλιαν, καὶ ἐκεῖ πάλιν εὑρίκασι ἄλλους εἰκασιτέσσαρας μοναχούς, καὶ ἀνταμώθησαν καὶ αὐτοὶ μὲ αὐτοὺς καὶ ἔγιναν ὅλοι ὁ χορὸς τῶν ἁγίων πατέρων, ἐννενήκοντα ἐννέα. Καὶ μὴ θαυμάσῃς πῶς δὲν ἦσαν ἑκατὸν σωστοί, διότι πάντοτε εἶχαν τὸν Χριστὸν διὰ κεφαλὴν καὶ διδάσκαλον, ὅπου ἐγίνοντο πάλιν ἑκατόν. Καὶ κάκάμνοντες λοιπὸν ὀλίγον καιρὸν καὶ ἐκεῖ εἰς τὴν Ἀτά-

ΑΛΕΞΑΝΔΡΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΗΡΙΣΤΟΦΟΡΗΣ ΠΑΠ

www.tezaurliturgic.ro



λιαν, μὲ προσευχαῖς καὶ νηστείαις καὶ παρακαλοῦντες τὸν Θεὸν, νὰ τοὺς ὁδηγήσῃ εἰς τόπον ἁρμόδιον, ὅπου νὰ μὴ τοὺς θωροῦσιν ἄνθρωποι, νὰ τοὺς δοξάζουσιν, διότι πολλὰ τοὺς εὐφημοῦσαν οἱ ἄνθρωποι τοῦ τόπου ἐκείνου. Καὶ ὁ Θεὸς τοὺς ἔβαλε λογισμὸν, νὰ μισεύσουν ἀπὸ τὴν Ἀτάλιαν, νὰ ὑπάγουν εἰς τὴν Κρήτην, καὶ ἐμβῆκαν ὅλοι εἰς ἕνα καράβι καὶ εἰς ὀλίγας ἡμέρας ἦλθαν εἰς τὸ νότιον μέρος τῆς νήσου Κρήτης, ὅμως τοῦτο πρέπει νὰ ἠξεύρετε ὅτι ὁ Χριστὸς ὅπου ἦτον κεφαλὴ τῶν, τοὺς ἐταξίδευε πάντοτε μὲ ἀνέμους καλοὺς καὶ ἐπιτηδείους· μόνον ὅταν ἐπλησίασαν εἰς τὴν ποθητήν των Κρήτην, ἦλθεν ἀνεμοστρόβυλος μεγάλος, καὶ ἐκινδύνευσεν νὰ χαθῇ τὸ καράβι· τοῦτο δὲ ὅλο ἐγίνηκε διὰ νὰ φανερώσῃ ὁ Θεὸς τὴν δύναμίν του τῶν Κρητικῶν, καὶ νὰ δείξῃ ὅτι περισσότερον ἠμπορεῖ νὰ βοηθήσῃ τὸν δοῦλον του μὲ ἕνα κομμάτι ράσσον καὶ ἕνα ραβδὶ, καθὼς ἔδειξε εἰς τὸν ἅγιον, παρὰ ὅπου ἠμποροῦσι σπαθιὰ καὶ κοντάρια, ὅπου οἱ κρητικοὶ πολιτεύονται. Καὶ ἐπειδὴ τὸ λοιπὸν δὲν ἠμποροῦσαν ἀπὸ τὸν πολὺν ἄνεμον νὰ πιάσουν εἰς τὴν Κρήτην, ἐπῆγαν εἰς τὸ ἀντίπερα νησάκι ὅπου λέγεται Γαῦδος, τὸ ὁποῖον νησάκι τὸ ἠξεύρουν οἱ ναῦται πῶς εἶνε μακρὰν ἀπὸ τὴν Κρήτην μίλια 40.

Κύριε Ἰησοῦ Χριστὲ υἱὲ καὶ λόγε τοῦ Θεοῦ τοῦ ζῶντος ὁ λυτρώσας τὸν προφήτην Ἰωνᾶν ἀπὸ τὸν κλείδωνα τῆς θαλάσσης, ὅταν ἦτο εἰς τὴν κοιλίαν τοῦ θηρίου καὶ ἀπέρασεν εἰς τὴν Νινευὴν, σὺ ὅπου ἔσχισες τὴν ἐρυθρὰν θάλασσαν, διὰ τοῦ προφήτου σου Μωϋσέως καὶ ἐπέρασες τὸν λαὸν τοῦ Ἰσραὴλ καὶ ἐλευθέρωσας αὐτὸν ἀπὸ τὰς χεῖρας Φα-



ραὼ, σὺ ὅπου ἐπρόσταξες τὸν κορυφαῖον τῶν ἀποστόλων Πέτρον νὰ περιπατήσῃ εἰς τὰ νερὰ ἀπάνω καὶ ἀρχίζοντας νὰ καταποντίζεται, τὸν ἐλευθέρωσες ἀπὸ τὸν βυθὸν, αὐτὸς λύτρωσε καὶ ἐμένα ὡς μόνος δυνατὸς ἐν γῇ καὶ ἐν θαλάσσῃ· σὺ ὅπου εἶπες ὅλα ὅσα ἂν αἰτήσεσθαι διὰ τὸ ὄνομά μου θέλετε τὰ ἔχει, αὐτὸς μοῦ βοήθησον νὰ περάσω εἰς τὴν Κρήτην νὰ εὕρω τοὺς ἀδελφούς μου, ὅτι σὺ Κύριε παιδεύεις καὶ πάλιν ἰατρεύεις, καὶ σοὶ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν. Καὶ τελειώνοντας ὁ ἅγιος τὴν εὐχὴν ἐστάθηκεν κατα ἀνατολὰς καὶ σημειώσας ἐφ' ἑαυτὸν τὸ σημεῖον τοῦ σταυροῦ λέγων τὸ «πιστεύω εἰς ἕνα Θεὸν, τὸ Πάτερ ἡμῶν καὶ τὸ δι' εὐχῶν» καὶ σφραγίσας τὸν αἰγιαλὸν μὲ τὸ σημεῖον τοῦ σταυροῦ ἀνέβηκεν ἐπάνω εἰς τὸν μανδίαν αὐτοῦ, καὶ ἄρχισεν ἐν ὀνόματι τοῦ Κυρίου νὰ πλέῃ ἐπάνω εἰς τὴν θάλασσαν, καὶ δὲν ἐδειλίασεν ὁ εὐλογημένος τόσον μάκρος τῆς θαλάσσης, διότι ἐνθυμεῖτο τὸν λόγον τοῦ Κυρίου ὅπου εἶπε, «ὅποιος ἔχει πίστιν ὡς κόκκον σινάπεως ἐὰν πῇ τοῦ βουνοῦ νὰ σαλεύσῃ καὶ νὰ πέσῃ εἰς τὴν θάλασσαν, σαλεύει καὶ ἔρχεται ἐπ' αὐτὴν,» καὶ οὕτω χωρὶς φόβον ἔπλεεν ψάλλων διάφορα τροπάρια ἁρμόδια τῆς ἐκκλησίας καὶ εὐχὰς κατανυκτικὰς εἰς τὸν Θεὸν ἐλθὼν ὡς γρήγορος πεζοδρόμος, ὁμοίως καὶ οἱ ἄλλοι ἀδελφοὶ καὶ πατέρες μὲ ψαλμῳδίαις ἄπαυσταις, ἀνύμνουν καὶ ἐδόξαζον τὸν Θεόν. Καὶ φθάσαντος τοῦ ἁγίου εἰς τὴν Κρήτην, ὁ πρῶτος τῶν ἀδελφῶν ἔδωσε τὴν χεῖρα, καὶ πιάσας αὐτὸν τὸν ἐφίλησε, καὶ ἀγαλλόμενοι ἔψαλλον τὸ «συνδέσμῳ τῆς

www.tezaurliturgic.ro



ἀγάπης συνδεόμενοι οἱ ἅγιοι καὶ τῷ δεσπόζοντι τῶν ὅλων Χριστῷ ἑαυτοὺς ἀναθέμενοι, ὡραίους πόδας ἐξατενίζοντο, εὐαγγελιζόμενοι πᾶσιν εἰρήνην-» Ὥρᾳ τρίτῃ τῆς ἡμέρας, ἄρχισεν ὁ ἅγιος νὰ πλέῃ, ἀπὸ τὸ νησὶ τῆς Γαύδου, καὶ εἰς τὴν ἕκτην ὥραν ἔφθασεν εἰς τὴν Κρήτην, ἀβλαβὴς καὶ ἀκίμαντος. Διὰ τοῦτο μὰ τὴν ἀλήθειαν, εὐλογημένοι χριστιανοὶ καὶ συμπατριῶται κρητικοί, πρέπει σήμερον ὅλοι πνευματικῶς νὰ χαροῦμεν, ἐπειδὴ τοιοῦτον θησαυρὸν μᾶς ἐχάρισεν ὁ Θεὸς καὶ ἐπλούτισεν τὸν τόπον μας μὲ τούτους τοὺς ἁγίους, καὶ πρέπει νὰ εὐφραινώμεθα, ἐπειδὴ καὶ ἔχωμεν τοιούτους βοηθοὺς καὶ πρέπει νὰ δοξολογοῦμεν τὸν πανεπόπτην, ὅπου μᾶς ἀξίωσεν νὰ ἔχωμεν τοιούτους συμπολίτας, πρέπει ἀληθινὰ ὅλοι νὰ ἐρχώμεθα μὲ φόβον καὶ εὐλάβειαν, εἰς ἀπάντησιν καὶ τιμὴν καὶ προσκύνησιν τῶν ἁγίων τούτων, καὶ μὲ εὐλάβειαν καὶ φόβον Θεοῦ νὰ τοὺς δοξολογοῦμεν, καὶ νὰ τοὺς πανηγυρίζωμεν μὲ πνευματικὴν χαράν, νὰ διηγούμεθα τὰ θαύματα αὐτῶν, διὰ νὰ τὰ ἀκούουν οἱ πιστοὶ καὶ εὐλαβεῖς χριστιανοί, νὰ δοξάζουσι τὸν Θεὸν ὅπου ἐδόξασεν αὐτούς. Ἅμα λοιπὸν εὐφράνθηκαν οἱ ἀδελφοὶ ὅλοι καὶ ἐχάρηκάν εἰς τὸν θαυμαστὸν ἐρχομὸν τοῦ ἁγίου εἰς τὴν Κρήτην, ἀπὸ τὴν Γαῦδον, καθὼς ἀκούσατε, ἀνεβαίνουν ἀπάνω εἰς τὰ ὄρη και βουνά, πρὸς τὸ νότιον μέρος τῆς Κρήτης διὰ νὰ τύχωσιν κανένα σπήλαιον νὰ κατοικήσουν, καὶ δὲν ηὗραν ἄλλο νὰ τοὺς ἀρέσῃ, μόνον τὸ σπήλαιον ὅπου λέγεται τῆς μεγάλης πέτρας τοῦ Χάρακος, εἰς χωρίον Ἀζογιρὲ καὶ ἐκεῖ ἔμειναν προσευχόμενοι ἐν νηστείαις καὶ ἀγρυπνίαις ἐκδεόμενοι τὸν Θεὸν τὸν σώζοντα αὐτούς. Καὶ



ἡ τροφή των ἦτον ἀπὸ τοῦ σκίνου τὸν καρπὸν καὶ ἀπὸ τὰ ἄγρια ξιλοκέρατα, ὅπου ἔτρωγαν οἱ χοῖροι, καὶ τὰ ἄλλα ἄγρια ζῶα, μὰ ἐπειδὴ καὶ τὸ σπήλαιον ἦτον μικρόν, καὶ δὲν ἐχωροῦσαν ὅλοι ἐμοιραστήκασιν εἰς δύο μερτικὰ καὶ οἱ μὲν 33 ἐπήγασιν ἀντίπερα τοῦ ποταμοῦ εἰς τὸ σπήλαιον, οἱ δὲ ἐπίλοιποι ἐπομείνασι εἰς τὸ πρῶτον, ἕως τέλους τῆς ζωῆς αὐτῶν, ἔζησαν δὲ χρόνους 89 εἰς τὰ ὁποῖα δύο σπήλαια, εὑρίσκονται ἀκόμη τὰ λείψανά των, καὶ ἦτον μὰ τὴν ἀλήθειαν καὶ εἶνε πρᾶγμα ἐξαίσιον καὶ θαυμάσιον νὰ θεωρῇ καθ' ἕνας, ὅπου νὰ ἔχῃ εὐλάβειαν, τὰ σπήλαια ἐκεῖνα, ὡσὰν παλάτια ἐστολισμένα εὔμορφα μὲ τὸ νὰ ἔχουσι τοιούτους μαργαρίτας καὶ ἄρχοντας τῆς βασιλείας τῶν οὐρανῶν, ὁ δὲ ἅγιος Ἰωάννης ἠξεύροντας πῶς ἡ ἡσυχία εἶνε ἀρχὴ καθάρσεως ἐπεθύμει νὰ ἡσυχάσῃ καὶ μόνος, μόνου τοῦ Θεοῦ κρυφὰ νὰ προσεύχητε διὰ νὰ τοῦ δώσῃ εἰς τὸ φανερὸν τὴν ἀνταμοιβήν, καὶ ἔστοντας νὰ ἔχῃ τὴν ἐπιθυμίαν ταύτην, ἤρχισε νὰ φανερώνει τὴν ἐπιθυμίαν ταύτην καὶ πρὸς τοὺς λοιποὺς ἀδελφοὺς καὶ νὰ ζητήσῃ συγχώρησιν νὰ ἀναχωρήσῃ ἀπ' αὐτούς, οἱ δὲ ἅγιοι Πατέρες ἄρχισαν μὲ μεγάλα δάκρυα νὰ τοῦ λέγουσιν καὶ πῶς νὰ δυνηθῶμεν τὸν χωρισμόν σου ἀδελφὲ Ἰωάννη, ἀνίσως καὶ ὅταν σὲ ἀστοχήσαμεν καὶ ἀπόμεινες εἰς τὴν Γαῦδον, δὲν ἠμπορούσαμεν νὰ κάμωμεν δίχως σου καὶ σὲ ἔπεμψεν μὲ μεγάλον θαῦμα πρὸς ἡμᾶς, πῶς τώρα θέλομεν δυνηθῇ νὰ ὑποφέρωμεν τὸν χωρισμόν σου τελείως. Ταῦτα καὶ ἄλλα λόγια ὅμοια ἐλέγασι πρὸς αὐτὸν κλέοντες, ἀλλὰ δὲν ἠμποροῦσαν νὰ τὸν καταπείσουν νὰ απομείνῃ. Καὶ ἔστοντας νὰ θεωροῦσι πῶς ὁ λογισμός του ἦτο

6

www.tezaurliturgic.ro



καλὸς ἐπειδὴ ἠγάπησε περισσοτέραν σκληραγωγίαν, ἐσήκωσαν τὰς χεῖρας αὐτῶν εἰς τὸν οὐρανὸν καὶ ἄρχισαν νὰ προσεύχωνται καὶ νὰ λέγουν οὕτω «Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν ἐπειδὴ Ἰωάννης ὁ ἡμέτερος ἀδελφὸς θέλει νὰ ἀναχωρήσῃ ἀπὸ ἡμᾶς σήμερον, ὁδήγησέ τον νὰ περάσῃ τὴν ζωήν του ἐν εἰρήνῃ καὶ ἡσυχίᾳ, καὶ ἀξίωσον ἡμᾶς Κύριε τὴν ἡμέραν ὅπου θέλει νὰ ἔλθῃ τοῦ ἑνὸς μας θάνατος καὶ τὸ τέλος τῆς ζωῆς του, τὴν αὐτὴν ἡμέραν νὰ τελειώσωμεν ὅλοι ὁμοθυμαδὸν καὶ νὰ δώσωμεν τὸ χρέος τοῦ θανάτου μας εἰς μίαν καὶ τὴν αὐτὴν ἡμέραν. Ταῦτα καὶ ἄλλα λέγοντες, ὁ Ἅγιος ἔκαμε μετάνοιαν, καὶ ἀνεχώρησεν ἀπὸ τὴν ἀδελφότητα· καὶ περιπατῶντας δύο ἡμέρας ἐπῆγε πρὸς τὰ μέρη τῶν Χανίων καὶ πορευόμενος εἰς τὰ βουνὰ τοῦ ἀκρωτηρίου, εὑρῆκε σπήλαιον εἰς τόπον πολλὰ δύσβατον καὶ σκληρόν, ὅπου οὔτε ἄγρια ζῶα δὲν ἠμποροῦσαν νὰ κατοικήσωσιν ἐκεῖ ἀπὸ τὴν πολλὴν σκληρότητα τοῦ τόπου, ἀλλὰ ὁ ἅγιος ἐχάρη πολλὰ λέγοντας πῶς δὲν θέλει εὑρεθῇ τόπος ἐπιτηδειότερος καὶ καλλίτερος διὰ νὰ δαμάσῃ τὸ κορμί του ὡσὰν ἐκεῖνον, καὶ ἐκεῖ λοιπὸν ἐκατοίκησε καὶ ἐχαίρετο εὐφραινόμενος ὡσὰν νὰ ἦτον εἰς κανένα λιβάδι μυρισμένον καὶ περιβόλιον εὐμορφώτατον. Κατοικῶν δὲ εἰς ἐκεῖνο τὸ σπήλαιον τοῦ ἤρχοντο πολλαῖς φοραῖς λειποθυμίαις τὸ καλοκαίρι ἀπὸ τὴν ἀνυδρίαν καὶ σκληρότητα τοῦ τόπου, ὅπου τὸν ἐφέρασιν εἰς τὸν θάνατον. Διὰ τὴν σκληραγωγίαν καὶ στενοχωρίαν, ὅπου εἶχεν ὁ ἅγιος εἰς ἐκεῖνο τὸ σπήλαιον καὶ τὴν κακοπάθειαν, ἦτο πρᾶγμα νὰ θαυμάζουν καὶ αὐτοὶ οἱ ἄγγελοι, καὶ νὰ φρίττουν οἱ δαίμονες, διότι καθὼς ὁ μέγας Ἰωάννης ὁ Πρόδρομος



δὲν ἦτο ἡ ζωή του καὶ ἡ τροφή του ἄλλη εἰς τὴν ἔρημον παρὰ μόνον αἱ ἄκραις τῶν βοτάνων, τέθοιας λογῆς καὶ ὁ ἅγιος ἐτοῦτος ἀπεκεῖνα ἐτρέφετο· ὅταν δὲ ἤθελεν ἔλθῃ τὸ θέρος καὶ πλέον βότανα δὲν εὕρησκεν ἔτρωγε σκινόκαρπον καὶ πάλιν δὲν ἔτρωγεν οὐδ' ἀπὸ τοῦτον νὰ χορτάσῃ. Ἀλλὰ τίς ἠμπορεῖ νὰ λογιάσῃ τὸ ἄμετρον τῆς αὐτοῦ ἀρετῆς, ταῖς προσευχαῖς καὶ τὰ δάκρυα, ὅπου ἔχυνεν εἰς τὴν πολιτείαν ἐκείνην καὶ ζωὴν τὴν ἀγγελικήν, ἀλλὰ τέτοιας λογῆς καθὼς ὁ Μωϋσῆς πολιτευόμενος ἀξιώθηκεν διὰ τὴν πολλήν του νηστείαν νὰ ὁμιλήσῃ καὶ οὗτος μὲ τὸν Θεόν, καὶ πολλαῖς φοραῖς ὅσον τοῦ ἦτον δυνατόν, ἐγροίκα καὶ ἐθεώρει τὸν Θεὸν μὰ ἀπὸ τὴν τόσην σκληραγωγίαν καὶ κακοπάθειαν, ὅπου εἶχε καθὼς εἴπομεν, δὲν ἐδύνετο νὰ περπατήσῃ ὀρθὸς ἀλλὰ ἐπεριπατοῦσε με τὰ τέσσαρα πόδια ὡς ζῶον, καὶ τόσον ἐμεγάλωσαν αἱ τρῖχες τοῦ κορμιοῦ του, ὅπου ὅποιος ἤθελε τὸν ἰδεῖ ὅταν εὔγενεν ἀπὸ τὸ σπήλαιον, νὰ εὕρῃ τίποτε, ἐθαύμαζε καὶ ἐφοβάτο. Καὶ μίαν ἡμέραν ὅταν ἐσήμανεν ὁ καιρὸς νὰ τὸν δοξάσῃ ὁ Θεὸς εὐγῆκε νὰ εὕρῃ τὴν συνειθισμένην του τροφὴν τῶν βοτάνων, καὶ ἐπεριπάτει ὡς εἴπομεν ὡς τετράποδον ζῶον. Καὶ ἕνας βοσκὸς ἀπιτήδειος εἰς τὸ δοξάρι ἐπεῖγεν εἰς τὸν λόγγον ἐκεῖνον νὰ κυνηγήσῃ τίποτες καὶ ἐκεῖ ὅπου ἐγύρευεν θεωρῶντας τὸν ἅγιον ἐλόγιασεν ὅτι εἶναι ζῶον, καὶ πέρνει τὴν σαίταν καὶ ἔδωκεν τοῦ ἁγίου εἰς τὴν καρδίαν, καὶ παρευθεὶς ὁ ἅγιος ἐγροίκησε τὸ βέλος εἰς τὴν καρδίαν πῶς τὸν ἐθανάτωσεν, καὶ ἐπαρακάλεσεν τὸν Θεὸν νὰ τὸν ἀφήσῃ νὰ φθάσῃ εἰς τὸ σπήλαιον, ὅπου ἐκατοίκα καὶ ἐκεῖ νὰ δώσῃ τὸ τέλος· καὶ μισεύωντας ἀπὸ ἐκεῖ ἐ-

www.tezaurliturgic.ro



φθασεν εἰς τὸ σπήλαιον βαστόντας καὶ τὴν σαῖταν εἰς τὸ στῆθός του, τρέχοντας καὶ τὸ αἷμα εἰς τὴν γῆν· ὅμως ὁ βοσκὸς ἐγροίκησεν ἀπὸ τὴν σαῖταν ὅτι ἐτόξευσεν τίποτε, καὶ οὐκ ἀπέτυχεν τοῦ σκοποῦ του, καὶ ἐπῆγε νὰ εὕρῃ τὸ σκοτωμένον ζῶον, καθὼς ἐλόγιαζεν καὶ χαρούμενος ἐπερπάτει καὶ ἐπήγαινεν, ὅπου ἐθώρη τῆς σταλαματίαις τοῦ αἵματος· καὶ ἐμπένων μέσα εἰς τὸ σπήλαιον, εὑρίσκει τὸν ἅγιον ἔχοντας τὰς χεῖρας δεμένας σταυροειδῶς, καὶ τὴν σαῖταν εἰς τὴν καρδίαν μὰ ἀκόμη ἦτον ζωντανός, καὶ παρευθὺς πίπτει εἰς τὰ πόδια του, καὶ μὲ μεγάλα δάκρυα κλένοτας ἔλεγεν· ἀλλοίμονον εἰς ἐμένα τί ἔπαθα σήμερον ὁ ταλαίπωρος· φεῦ μοι τῷ ἀθλίῳ, πῶς ὁ διάβολος μὲ ἐτύφλωσεν, νὰ γένω φονεὺς εἰς τὸν ἅγιον· τί νὰ γενῶ; τί νὰ κάμω; δὲν ἔχω ποῦ ἀλλοῦ νὰ πέσω, μόνον πάλιν εἰς τὰ πόδια σου ἅγιε, νὰ παρακαλέσῃς Κύριον τὸν Θεόν σου, νὰ μοῦ δώσῃ συγχώρησιν, καὶ νὰ μὲ ὁδηγήσῃ εἰς στράταν, ὅπου νὰ σωθῶ. Ταῦτα κ' ἄλλα περισσότερα λέγοντος τοῦ νέου μὲ μεγάλα δάκρυα, ἀπεκρίθη ὁ ἅγιος μέ ταπείνωσιν, καὶ ἥρεμον φωνὴν καὶ τοῦ λέγει· ὁ Θεὸς ὁ ἅγιος τέκνον μου, ὅπου ἀγαπᾷ τὴν σωτηρίαν τῶν ἀνθρώπων καὶ θέλει τὴν μετάνοιαν τῶν ἁμαρτωλῶν, νὰ σοῦ δώσῃ μετάνοιαν, καὶ νὰ σοῦ συγχωρήσῃ τὸ ἁμάρτημα, ὅπου ἔκαμες σήμερον εἰς ἐμένα τὸν ἀχρεῖον αὐτοῦ δοῦλον, καὶ νὰ σὲ ἀξιώσῃ τῆς βασιλείας αὐτοῦ, ἀμήν. Ἔτσι ἔχοντας ὁ ἅγιος τὰς χεῖρας δεμένας παρέδωκε τὴν ἁγίαν ψυχὴν αὐτοῦ εἰς χεῖρας Θεοῦ, τὰς ἓξ τοῦ Ὀκτωβρίου μηνός. Καὶ θέλοντας ὁ νέος νὰ μισεύσῃ, δὲν ἐμπόριεν νὰ εὔγῃ ἀπὸ τὸ σπήλαιον, ἀπὸ τὴν



τόσην εὐωδίαν καὶ ψαλμῳδίαν, ὅπου ἐγρῆκα ἀοράτως τῶν ἁγίων ἀγγέλων. τριγύρω τοῦ ἁγίου λειψάνου, ὅμως μὲ πολλὴν ὥραν ὁδηγούμενος μὲ τὴν εὐχὴν τοῦ ἁγίου, εὐγῆκεν ἔξω ἀπὸ τὸ σπήλαιον, διὰ νὰ τὸν κηρύξῃ εἰς ὅλην τὴν περιοχὴν τῶν Χανίων, καὶ κηρύσσων τὸν ἅγιον, ἔλεγε φανερὰ καὶ τὸ σφάλμα του, καὶ εἰς ὀλίγας ἡμέρας ἔγεινεν ἀκουστὸν τὸ ὄνομα τοῦ ἁγίου εἰς ὅλην τὴν Κρήτην, καὶ ἐπήγαινεν πλῆθος λαοῦ καὶ ἐπροσκυνοῦσαν αὐτόν, καὶ ὅτι ἀσθένειαν καὶ ἂν εἶχε κανεὶς καὶ ἐπήγαινε μὲ πίστιν ἦτον ἀδύνατον νὰ μὴ λάβῃ τὴν θεραπείαν αὐτοῦ. Καὶ βλέποντας οἱ εὐσεβεῖς Χριστιανοὶ τὰ πολλὰ θαύματα ὅπου ἐγίνουνταν καθ' ἡμέραν ἀπὸ τὸν ἅγιον, ἐκάμασιν εἰς ὀλίγον καιρὸν ἐκκλησίαν τὸ αὐτὸ σπήλαιον, εἰς τὸ ὄνομα τοῦ ἁγίου Ἰωάννου, τὸ αὐτὸ σπήλαιον ἢ ἐκκλησία, καθεκάστην ἡμέραν βρύοι θαύματα, Καὶ οὐδένας δὲν ὑπάρχει ὁποῦ νὰ ἐπικαλεσθῇ τὸν ἅγιον μὲ πίστιν, ἢ εἰς τὴν γῆν, ἢ εἰς τὴν θάλασσαν καὶ νὰ μὴ λάβῃ ἐκεῖνο ὁποῦ ζητᾷ ἂν εἶναι διὰ τὸ καλὸν τῆς ψυχῆς αὐτοῦ. Διότι πολλαῖς φοραῖς ἀδελφοὶ ζητοῦμεν τίποτα ζήτημα τοῦ Θεοῦ, μὰ ὁ Θεὸς γνωρίζοντας πῶς δὲν εἶναι διὰ τὸ καλὸν τῆς ψυχῆς μας δὲν μᾶς τὸ δίδει, μόνον ἐκεῖνο, ὁποῦ εἶναι καλὸν τῆς ψυχῆς καὶ τοῦ σώματος ἐκεῖνο μᾶς χαρίζει.

Προσευχόμενοι λοιπὸν εὐλογημένοι χριστιανοί, χρεωστοῦμεν πρῶτον νὰ ζητοῦμεν τὴν βασιλείαν τῶν οὐρανῶν, καθὼς μᾶς διδάσκει ἡ Κυριακὴ προσευχή, δηλαδὴ τὸ «Πάτερ ἡμῶν», καὶ ὅλα τὰ ἄλλα θέλουσι μᾶς προστεθεῖ παρὰ τοῦ ἑνὸς καὶ μόνου Θεοῦ οὗ πρέπει πᾶσα δόξα τιμὴ

www.tezaurliturgic.ro



καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ταῖς αὐτῶν πρεσβείαις

Ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Τροπάρια ἐγκώμια ψαλλόμενα εἰς τοὺς ἁγίους πατέρας, καὶ εἰς τὸν μέγαν Ἰωάννην τὸν ἐρημήτην μὲ τὴν στάσιν· ἡ ζωὴ ἐν τάφῳ.

Μακαρίζομέν σε Ἰωάννη σοφὲ, καὶ τιμῶμεν τὴν ἁγίαν εἰκόνα σου, ὡς ἀντίτυπον τῆς θείας σου μορφῆς.

## Δίς. Κατ' ἀλφάβητον.

Ἀκτῖνά σου πέμψον, ἄναρχε, φωταυγῶς, τοῦ φωτίσαι τὴν ἀθλίαν καρδίαν μου, ἀνυμνῆσαι τοὺς πατέρας τοὺς σοφούς.

Βασιλεῦ ἁπάντων, καὶ σωτὴρ ἀγαθῶν, δώρησε μοι θείαν γνῶσιν ὑμνῆσαί σου, τοὺς πατέρας ἐν τῇ Κρήτῃ εὐσεβῶς.

Γένος ἅπαν πιστῶν, ἀνυμνήσωμεν νῦν Ἰωάννην τὸν πάντων πανθαύμαστον, καὶ σοφὸν, καὶ κινδύνων ἀντιλήπτορα θερμόν.

Δεῦτε, πᾶσα τάξις, ἅπαν γένος Κρητῶν, προσκυνήσωμεν τὰ ἅγια λείψανα, Ἰωάννου καὶ πατέρων τῶν σοφῶν.

Ἐξοδίοις ὕμνοις, ὀρθοδόξων πληθύς· δεῦρο τῶν πατέρων μελῴδησον, τῇ κοιμήσει καὶ τοῦ θείου ἀσκητοῦ.

Ζυγὸν τοῦ Κυρίου ἄραντες οἱ σοφοὶ, ἐπὶ ὤμων καὶ τὴν Κρήτην κατέλαβον, καὶ ἐπλήρωσαν Χριστῷ ταῖς ἐντολαῖς·



Ἤκουσαν προθύμως, τῆς φωνῆς τοῦ Χριστοῦ, τῆς λεγούσης «εἴ τις θέλει ὀπίσω μου·» διὸ ἔδραμον ἀόκνως τῷ Χριστῷ.

Θείων ἰαμάτων, βλύζουσι ποταμοὶ, ἐκ τῆς θήκης τῶν λειψάνων σου ἅγιε, ἐξ οὗ πίνουσιν οἱ τρέχοντες πιστοί.

Ἱερέων δῆμος μοναστῶν ὁ χορὸς, ἄρχοντες Κρητῶν καὶ πᾶς ὁ λαὸς, ἀνυμνήσατε Πατέρας τοὺς σοφούς.

Κρήτη χαρμοσύνως, τὴν σεπτὴν ἑορτὴν, τῶν Πατέρων πανηγύριζε σήμερον, καὶ τοῦ θείου Ἰωάννου τοῦ σοφοῦ.

Λύσιν τῶν σφαλμάτων, τῶν ἐμῶν Ἰησοῦ, ταῖς πρεσβείαις τῶν πατέρων μοὶ δώρησαι, καὶ τοῦ θείου Ἰωάννου τοῦ σοφοῦ.

Μακαρίζομέν σε, Ἰωάννη σοφὲ, καὶ τιμῶμεν τὴν σωρὸν τῶν λειψάνων σου, καὶ εἰκόνα τὴν ἁγίαν εὐσεβῶς.

Νικηταὶ ὡς ὄντες, νίκην δότε ἡμῖν, κατ' ἐχθρῶν τῶν πολεμούντων καὶ μαινομένων, καθ' ἡμέραν καθ' ἡμῶν τῶν ταπεινῶν.

Ξένον θαῦμα βλέπω, μία ὥρα ὁμοῦ, πάντες οἱ πατέρες παρέδωκαν, ταῖς ψυχαῖς σὺν Ἰωάννῃ τῷ κλεινῷ.

Ὁ τῆς Κρήτης ἅπας ὀρθοδόξων λαὸς, δεῦτε καὶ κυκλώσωμεν σήμερον, ὥσπερ τέκνα τῶν πατέρων, τὴν σωρόν.

Πύργοι θεῖοι ὄντες, ἀκλινεῖς καὶ στερροὶ, καταφύγιον Κρητῶν καὶ ἑδρέωμα, καὶ προστάται καὶ ὑπέρμαχοι ἡμῶν.

Ῥομφέαι καὶ δόρυ, φάσγανα κατ' ἐχθρῶν, καὶ κινούμενα βέλη εἰσὶν, οἱ πατέρες καὶ προπύργια Κρητῶν.

Σήμερον κομπάζεις Κυδωνία λαμπρὰ, ἔχεις ἐν τοῖς

www.tezaurliturgic.ro



κόλποις τὸν θησαυρὸν, τοὺς πατέρας τοὺς ἀσκήσαντας ἐν σοί.

Τιμαλφῆ ὡς ῥόδα, εὐοδίας μεστὰ, εἰσὶν αἱ ἅγιαι κάραις αὐτῶν, καὶ μυρίζουσι ψυχαῖς ταῖς τῶν πιστῶν.

Ὑπὲρ τῆς ἀλήκτου καὶ ἀφθάρτου τρυφῆς ἠγωνίσασθε, ἐκ πόθων μακάριοι, διὸ ἤρατε στεφάνους ἐκ Θεοῦ.

Φωταυγεῖς ἀστέρες, νοητοῦ οὐρανοῦ, καὶ ἡμᾶς καταφωτίσατε ὅσιοι, καὶ ποιήσατε ἡμᾶς συγκοινωνούς.

Χαίρετε τῆς Κρήτης, σπήλαια καὶ βουνὰ, χαίρετε τὰ ὄρη καὶ φάραγκες, κάρας ἔχοντες πατέρων τὰς σεπτάς.

Ψάλλατε προθύμως, ψάλλατε τῷ Θεῷ, ἱερεῖς καὶ μοναχοὶ καὶ πᾶς ὁ λαὸς, τῇ Τριάδι προσκυνοῦντες εὐσεβῶς.

Ὦ Παρθενομήτωρ, σὺν τὸ θείῳ χορῷ, τῶν Πατέρων καὶ Ἰωάννῃ τῷ σοφῷ, πρεσβείαν ποίει ὑπὲρ ἡμῶν.

## Τὸ πρῶτον καὶ αἴτησις, στάσις δευτέρα
## Ἄξιον ἐστὶν μακαρίζειν σε.

Ἄξιον ἐστὶν τοῦ δοξάζειν σε Τριὰς ἁγία, Πάτερ, Λόγε καὶ Πνεῦμα τὸ ἅγιον τὸ δοξάσαν τῶν Πατέρων τὸν χορόν.

Ἄξιον ἐστὶν μακαρίζειν καὶ πιστῶς δοξάζειν, τοὺς θείους Πατέρας ἐκλάμψαντας, ἐν τῇ Κρήτῃ ὡς ἀστέρας φαεινούς.

Βίβλῳ τῶν γραφῶν, ἐκψυχήσαντες οἱ θεοφόροι, ἔφιπποι τοῦ βίου τὴν θάλασσαν, καὶ προσέδραμον Χριστῷ τῷ λυτρωτῇ.

Γένος καὶ τερπνὰ, ἀπαρνήσασθε θεῖοι Πατέρες, καὶ τὸν Κύριον ἀτενίζοντες, ἀπηλαύσετε τὰ ἄνω ἀγαθά.



Δεῦτε οἱ ἐν γῇ, καὶ θαλάσσῃ, τοὺς σοφοὺς Πατέρας, τοὺς ἐν Κρήτῃ τιμήσωμεν, καὶ τὸν μετ' αὐτῶν Ἰωάννην τὸν σοφόν.

Ἔχων σε ὁδηγὸν, Ἰωάννη, καὶ πηδαλιοῦχον, τὴν βραδεῖαν καὶ ἄμουσον γλῶσσάν μου, ὑπανοίξοις ἀνυμνῆσαί σε εἰκός.

Ζῇς ἐν οὐρανῷ εἰ καὶ τέθνηκας ὦ ἐρημῆτα, ὁσίως γὰρ ἔζης ἐπὶ τῆς γῆς, διὸ καὶ σὺν ἀγγέλοις χοροβατεῖς.

Ἡ ἁγία νῦν, τῶν Πατέρων σύναξις ὑμνείσθω, ἀπολαβόντες τὸν στέφανον δυσσῶς, σὺν τῷ Ἰωάννῃ τῷ θαυμαστῷ.

Θάμβος εἶν' εἰδεῖν, διάπονος ὦ ἐρημῆτα, παλαίων εὐχόμενος, βαδίζεις νότου τῆς θαλάσσης ὡς ξηράν.

Ἰωάννη ἀδελφὲ, ἐβόων ἐκ τῆς Κρήτης, οἱ θεῖοι Πατέρες, μὴ δύστασιν ἀλλὰ σύγνωθι καὶ ἐλθὲ πρὸς ἡμᾶς.

Κρήτη θαυμαστὴ, εὖγε τῆς καλῆς σου συνοδίας, τῆς εὐλογημένης καὶ θαυμαστῆς, ὅτι σὲ ἡγίασε θαυμαστῶς.

Λύουσι παθῶν, σαρκικῶν τῶν πίστει προστρεχόντων, θῆκαι τῶν λειψάνων καὶ βρύουσιν ἰάματα ἰάσεων ψυχικά.

Μακαρία ἡ Κρήτη, ὅτι τὰς νόσους ἁπάσας ὑπερῆρας, σχοῦσα πλοῦτον πολὺν, τῶν θείων πατέρων τὰ λείψανα.

Νῦν περιχαρῶς τὴν πανέορτον μνήμην τῶν θείων, Πατέρων, ὦ Κρήτη, ἑώρταζε, χόρευε καὶ σκίρτα πνευματικῶς.

Ξένον καὶ φρικτὸν, τὸ μυστήριον τοῦτο ὑπάρχει, ἐν μιᾷ ῥοπῇ, ἀπέθανον γὰρ πάντες οἱ πατέρες μιᾷ ψυχῇ.

Ὥραις σοι πολλαῖς διατρίβοντες ὦ Ἰωάννη, οἱ συνασκηταί σου μιᾷ ῥοπῇ, σὺν σοὶ ἐκοιμήθησαν οἱ σοφοί.

www.tezaurliturgic.ro



Πάθη χαλεπὰ, ἀπελαύνετε θεῖοι πατέρες, θεία μυροθήκη ὑπάρχοντες, μὴ ἐγούμενα τὰ θαύματα ὑμῶν.

Ῥώμην τῆς ψυχῆς, καὶ τοῦ σώματος θεῖοι πατέρες, πορίζετε πᾶσιν τοῖς εὐλαβῶς, τὴν ὑμῶν τελούντων νῦν ἑορτήν.

Στρέψατε ἡμῶν, θεοφόροι εἰς χαρὰν τὸ πένθος, τῶν συνεχόντων πειρασμῶν ἡμῶν, παρρησίαις ἔχοντες πρὸς Θεόν.

Τὸν θεῖον χορὸν, τῶν ἁγίων καὶ σεπτῶν πατέρων, Δεῦτε οἱ πιστοὶ εὐφημήσωμεν, ὡς μεγάλους ἀντιλήπτορας ἡμῶν.

Ὕψωσον πιστῶν κέρας, ἄναξ, τῶν ἀνάκτων λόγε, ταῖς τῶν θεοφόρων δεήσεσιν, καὶ κατάβαλε βαρβάρων τὴν ὀφρύν.

Φύλαξον Χριστὲ, ταῖς πρεσβείαις τῶν σεπτῶν πατέρων, ἐξ ἐχθρῶν παντοίας ἐπιβουλῆς, ἡμᾶς τοὺς τιμῶντας αὐτοὺς πιστῶς.

Χόρευε λαμπρῶς, Κυδωνία ὀφθαλμοῦ σου δῶρον, καὶ ἴδε ἐν κύκλῳ τὰ τέκνα σου, προσκυνοῦντα τοὺς πατέρας εὐλαβῶς. Δίς

Ψάλλατε πιστοὶ, ψάλλατε Θεῷ τῷ ἐν Τριάδι, ψάλλατε προθύμως δοξάζοντες, τῷ δοξάσαντι πατέρας τοὺς σοφούς.

Ὦ μῆτερ, ἁγνὴ, παναμώμητε εὐλογημένη ἐκ παντοίας βλάβης καὶ ἀπειλῆς, φύλαττε ἡμᾶς τῆς τῶν ἀσεβῶν.

Τὸ πρῶτον αἱ αἰτήσεις

Στάσις. Γ'. αἱ γενναιαὶ πᾶσαι.

Αἱ γενεαὶ πᾶσαι, μεγαλύνομέν σε, Χριστὸν τὸν Ζωοδότην.



Αἱ γενεαὶ πᾶσαι, τῆς Κρήτης συναχθεῖσαι, ὑμνεῖτε τοὺς Πατέρας.

Βρύει ἰαμάτων, ἔνδον ἐν τῷ Σπηλαίῳ, σωρὸς αὐτῶν ἡ θεία.

Γεραίρομεν ἀπαύστως τὰς ἁγίας κάρας, ὑμῶν θεῖοι Πατέρες.

Διὰ τὴν ἀγείρω ζωὴν καὶ μακαρίαν, ἠρνήσασθε τὸν κόσμον.

Ἔχοντες παρρησίαν, πρὸς τὸν Θεὸν καὶ θάῤῥος, μέμνησθε τῶν σῶν δούλων.

Ἡ Κρήτη μυρίζει, τὰ μύρα τῶν λειψάνων, ὑμῶν θεῖοι Πατέρες.

Θείων ἰαμάτων, κρουνοὺς αἱ θεῖαι κάραι, βλίζουσι τῶν Πατέρων.

Ἰωάννη πάτερ, σὺν τοῖς συνασκηταῖς σου, πρεσβεύειν μὴ ἐλείπῃς.

Κυδωνία χαίροις, ἐπὶ τῇ κοιμήσῃ, τοῦ ἐρημοπολίτου.

Λαὸν ὀρθῶς φρονοῦντα, τῶν Κρητῶν ἐξόχως, φύλαττε Ἰωάννη.

Μακάριον πέλει, τὸ σπήλαιόν σου πάτερ, ἐν ᾧ ἐπανεπαύσω.

Νύκτα καὶ ἡμέραν, ὑμᾶς πατέρες θεῖοι, ἔχομεν παραστάτας.

Ξένον θαῦμα βλέπω, ὑγρὰν ὁ Ἰωάννης, ὥσπερ ξηρὰν περάσας.

Ὄλβον νέον εὗρες, τῶν σεπτῶν πατέρων, τὰ λείψανα, ὦ Κρήτη.

Προσκυνοῦμεν πάντες, τὰς θείας ὑμῶν κάρας, πατέρες θεοφόροι.

www.tezaurliturgic.ro



Ῥόδα τε καὶ κρῖνα, τῆς ἐρήμου ὄντα, μυρίζετε τὴν Κρήτην.

Σπήλαια τὰ θεῖα, ἅπερ ὑμεῖς οἰκεῖτε, πιστῶς νῦν προσκυνοῦμεν.

Τὰ βουνὰ τῆς Κρήτης, μυρίζουσιν ὡς κρῖνα, ἐκ τῶν ὑμῶν λειψάνων

Ὑμνοῦμεν τοὺς ἀγῶνας, τοὺς σοὺς ὦ ἐρημῆτα, καὶ τὸ ἅγιον τέλος.

Φρουροὺς μεγάλους ἔχεις, πατέρας τοὺς ἁγίους, ἑκατόνπολις Κρήτη.

Χαίρεις Ἰωάννη, ἡ κορωνὶς τῆς Κρήτης, καὶ θάρρος τῶν Κυδώνων.

Χαίρετε πατέρες, οἱ φύλακες τῆς Κρήτης, καὶ τῶν πιστῶν προστάται.

Χάριν ἀμοιβῆς μοι, τῷ γράψαντι τοὺς ὕμνους, βραβεύσατε τὴν λύσιν.

Χεῖρα δεξιάν μοι, ἠθύνατε πατέρες, τῷ ταῦτα γράφοντι.

Ψαλμοῖς σὲ ἀνυμνοῦμεν, ὦ Τριὰς ἁγία, νῦν καὶ εἰς τοὺς αἰῶνας.

Ὦ Μαρία μῆτερ, Χριστοῦ τοῦ βασιλέως, τοὺς Χριστιανοὺς βοήθει.

Εἶτα ἀνθολογητάρια. Ἦχος πλ. α.

Εὐλογητὸς εἶ Κύριε. Ὁ δοξάσας πατέρας τοὺς ἁγίους.

Τῶν ἀγγέλων οἱ δῆμοι, κατεπλάγησαν ὄντως τὴν ὑμῶν ἀγγελώδη, πολιτείαν ὁρῶντες, θεοφόροι πατέρες,



ἐν σαρκίῳ νῦν τὸν ἄσαρκον κτείναντες καὶ ἰσχύος τῆς αὐτοῦ κατισχύσατε.

Εὐλογητὸς εἶ, Κύριε, ὁ δοξάσας πατέρας τοὺς ἁγίους.

Τί τὰ μύρα εὐλαβῶς τοῖς δάκρυσιν ὦ φιλέορτοι κιρνᾶτε, καὶ τῷ τάφῳ τῶν πατέρων δράμετε, καὶ κυκλώσατε αὐτῶν τὰ θεία λείψανα, πηγάζουσι τῶν πιστῶν γὰρ ἰάσεις καὶ χάριτας.

Εὐλογητὸς εἶ, Κύριε, σκέπε φρούρει τοὺς σε δοξάζοντας

Λίαν δεινῶς πειρωθεὶς τὰ ὄμματα τῆς ψυχῆς, ὁ φονεύς σου μάκαρ, τὸ βέλος ἀφεὶς ὡς ἄφρων σὲ φονεύει ῥίψαντα ἐν γῇ, τὸ σὸν δὲ αἷμα ῥέει ὅσιε, διὸ ἀνυμνοῦμέν σου τὸν κτίστην καὶ Θεόν.

Εὐλογητὸς εἶ, Κύριε, σκέπε φρούρει τοὺς σὲ δοξολογοῦντας

Μύρα βρύων ὁ τάφος ὁ σὸς, θεῖε Ἰωάννη, ἀναδείκνυται βρύσις ἰαμάτων, σοῦ γὰρ σοφὲ, μυροθήκη βρύουσα ἡμῖν ἡ σωρὸς τῶν λειψάνων μύροις χρίεις γὰρ τοὺς πιστῶς δοξολογοῦντάς σε. Δόξα.

Προσκυνοῦμεν πατέρα καὶ τὸν τούτου υἱόν τε καὶ τὸ ἅγιον Πνεῦμα, τὴν ἁγίαν Τριάδα, ἐν μιᾷ τῇ οὐσίᾳ σὺν τοῖς Σεραφεὶμ, κράζοντες, τὸ ἅγιος ἅγιος ἅγιος εἶ κύριε.

## Καὶ Θεοτοκίον

Πατέρα ἀγγέλων, ἀσυγκρήτως Παρθένε, Σεραφεὶμ θαυμασίως, συλλαβοῦσα τὸν Θεὸν, μητροπάρθενε Μαρία πάν-

www.tezaurliturgic.ro



τες οὖν ἡμεῖς νεφέλην ὁλόφωτον, Θεοτόκον ἀληθῶς σὲ κηρύττωμεν.

Ἀλληλούϊα Ἀλληλούϊα Ἀλληλούϊα δόξα σοι ὁ Θεός.

Αἴτησις καὶ Ἀπόλυσις.

Πανσέβαστοι πανόλβιοι πανάγιοι πατέρες
Τῆς Κρήτης οἱ πολύφωτοι καὶ φωταυγεῖς ἀστέρες,
Οἱ ἐν αὐτῇ ἀσκήσαντες, καὶ ἐνθαυμαστωθέντες
Καὶ τοῦ Χριστοῦ ἀπόστολοι καὶ μάρτυρες κληθέντες.
Πρεσβεύετε ὑπὲρ ἡμῶν τῶν ταπεινῶς ὑμνούντων.
Καὶ τὴν ἁγίαν μνήμην σας πιστῶς ἐπιτελούντων.

# ΠΑΡΟΡΑΜΑ

Κατὰ τὴν σελ. 38 στίχ. 22 μετὰ τὰς λέξεις· ἀπὸ τὴν Κρήτην μίλια 40 ἀνάγνωθι τὰ κατωτέρω.

Καὶ ἐκάμασιν ἐκεῖ ἡμέραις εἰκοσιτέσσαρες· καὶ περάσοντας οἱ εἰκοσιτέσσαρες ἡμέραις ἐγίνηκεν πάλι γαλήνη εἰς τὴν θάλασσαν. Διὰ προσευχῆς τῶν ἁγίων καὶ ἐμπήκασιν οἱ ἅγιοι εἰς τὸ καράβι καὶ ἤλθασιν εἰς τὴν Κρήτην. Ὅμως θέλοντας ὁ Θεὸς περισσότερον τὸν ἅγιον Ἰωάννην καὶ διὰ νὰ φανερώσῃ εἰς τοὺς ἀνθρώπους τὴν ἀρετὴν αὐτοῦ καὶ τῶν ἁγίων πατέρων, τὸν ἐσκέπασεν ἐκεῖ ἀπὸ κύματα, καὶ δὲν τὸν ἴδασιν οἱ ἀδελφοί του· ἤγουν οἱ ἅγιοι πατέρες όταν ἐμίσευαν μὲ τὸ καράβι, καὶ ἀπόμεινεν εἰς τὴν Γαῦδον. Καὶ τοῦτο ἦτον ὡς εἴπομεν θέλημα Θεοῦ, διὰ νὰ γενῇ τόσον παράδοξον καὶ φοβερὸν θαῦμα ὅπου θέλετε ἀκούσει, καὶ προσέχετε νὰ θαυμάσητε.

Ἀπῆτις λοιπὸν ἐτοῦτοι οἱ εὐλογημένοι, ἅγιοι πατέρες εὐγήκασιν εἰς τὴν Κρήτην, εὐγαίνοντες ἀπὸ τὸ καράβι ἀνεζητήσασιν τὸν ἅγιον Ἰωάννην. Καὶ ἐκ τῆς ἐλπίδος καὶ στερεᾶς ἀγάπης, ὅπου εἶχαν εἰς τὸν Θεόν, ὡς εὐλογημένοι, ἐσταθήκασιν καὶ ἐφώναξαν μετὰ πίστεως, ἀπὸ τὴν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



Κρήτην έως στήν Γαῦδον λέγοντες, ἀδελφὲ Ἰωάννη ἐλθὲ πρὸς ἡμᾶς ἀφόβως καὶ μὴ δειλιάσης, βλέποντας δὲ οὗτος ὁ ἅγιος, ὢ τοῦ θαύματος μὲ μεγάλην πίστιν κατεβαίνει καὶ αὐτὸς εἰς τὸν αἰγιαλὸν, καὶ ὡσὰν νὰ ἤθελεν εἶσθαι κάτεργον, ἔστεσεν ἀπάνω εἰς τὴν θάλασσαν τὴν ῥάβδόν του ὡσὰν κατάρτι καὶ τὸ ράσο του ἅπλωσεν ὡσὰν ἄρμενον καὶ ἐγονάτισεν ἀπάνω του, καὶ ἄρχισεν καὶ ἐπροσηύχετο λέγοντας τὴν εὐχὴν ταύτην.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ • ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ